κατορθώσωσιν ἐκεῖνοι, μόνοις αὐτοῖς ἅπας ὁ μισθὸς κεῖσεται, ἡμῖν δὲ οὐδὲν ἔσται τὸ κέρδος, ἐὰν μὴ συμβουλεύσωμεν· οὕτως, ἂν ἡμῶν παρακινησάντων, ἐκεῖνοι μὴ προσέχωσιν, ἅπασα αὐτῶν ἡ τιμωρία καταλήψεται, ἡμῖν δὲ οὐδὲν ἔσται ἔγκλημα, ἀλλὰ καὶ πολὺς μισθὸς ἀπαντήσεται παρὰ τοῦ θεοῦ. τὸ γοῦν ἡμῶν ἅπαν ἐπληρώσαμεν. καταβαλεῖν μόνον κελεύομεν τὰ ἀργύρια ὅπου τοὺς τραπέζιτας, εἰπεῖν καὶ συμβουλεῦσαι. εἰπὲ τοίνυν καὶ παράινεσον τῷ ἀδελφῷ. ἀλλ' οὐκ ἤκουσεν; ἀλλὰ σὺ τὸν μισθὸν ἔχεις ἀπηρτισμένον, μόνον ἂν ἀεὶ τοῦτο ποιῇς, ἂν μηδέποτε ἀποσῇς ἕως ἂν ἐμπνέῃς. πέρας ἔχω τῆς συμβουλῆς ἡ ὑπακοὴ τοῦ παρακίνησιν ὑποδεχομένου.

Ὁ διάβολος καὶ τῆς σωτηρίας ἀεὶ τρέχει τὴν μετέρχεται, οὐδὲν αὐτὸς κερδαίνων, ἀλλὰ καὶ τὰ μέγιστα βλαπτόμενος ἀπὸ τῆς ἀπουσίας. ἀλλ' ὅμως τοσαύτην ἔχει μανίαν, ὡς καὶ πολλάκις ἀδυνάτοις ὑπηρετεῖν φαντασίαις καὶ ὑπονοίαις, μὴ μόνον ἐκείνους εἰς προσοδοκᾷ πάντως ὑποσκελίζειν καὶ πειρᾶσθαι, ἀλλὰ καὶ εἰς εἰκὸς περίεσθαι τῆς μηχανημάτων αὐτοῦ.

Τὸν γοῦν Ἰὼβ ἀκούων ἐπαινούμενον παρὰ τοῦ τὰ ὑπάρχοντα πάντα εἰδότος θεοῦ, προσεδόκησε δηλονότι περιρρήξειν. καὶ ἐπέσκηψε πάντα κινῶν καὶ μηχανώμενος ὁ δόλιος, ὥστε ὑποσκελίσαι τὸν ἄνθρωπον. καὶ ὁρᾷς πῶς οὐκ ἀπεγίνωσκεν ὁ μακρὸς καὶ παμπόνηρος δηλαδὴ ἐκεῖνος, καὶ τοῦ θεοῦ τοσαύτην τὴν δικαίαν ψηφισαμένου τὴν ἀρετήν.

Εἶτα οὐκ αἰσχυνόμεθα, οὐδὲ ἐρυθριάζομεν εἰπέ μοι, εἰ τοῦ διαβόλου μηδέποτε ἀπογινώσκοντος τῆς ἀπωλείας ἡμῶν, ἀλλ' ἀεὶ προσδοκῶντος αὐτὸν, αὐτοὶ τῆς ἀδελφῶν ἀπογνωσόμεθα σωτηρίας; καί τοι ἐκεῖνον μὲν καὶ προ τῆς πει-

ρας ἀποστῆναι τῶν παλαισμάτων ἐδύ. θεὸς γὰρ ἦν ὁ μαρτυρῶν τῷ δικαίῳ τὰ ἀρετῶν. ἀλλ' ὅμως καὶ ἀπέστη. ἀλλ' ὑπὸ πολλῆς μανίας τὰ καθ' ἡμῶν, καὶ μετὰ τῶν τοῦ θεοῦ μαρτυρίαν, ἔλπισε ῥᾳδίως τὸν γενναῖον τότε ἐκεῖνον. ἡμᾶς δὲ οὐδέν ἐστι τοιοῦτον τὸ ποιοῦν εἰς ἀπόγνωσιν ἐμπίπτειν, καὶ ὅμως ἀριστόμεθα. καὶ ὁ μὲν διάβολος, τοῦ θεοῦ κωλύοντος, οὐκ ἀναχωρεῖ τὰ καθ' ἡμῶν μάχης· σὺ δέ, τοῦ θεοῦ παρρήσαντός σε καὶ διεγείροντος εἰς τὸν ἀνδρισμὸν τῶν πεπωκότων, ἀποπηδᾷς;

Ἤκουσεν ὁ διάβολος τοῦ θεοῦ λέγοντος· ἄνθρωπος δίκαιος, ἀληθινός, θεοσεβής, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος, καὶ ὅτι οὐδεὶς τοιοῦτός ἐστιν ὑπὸ τῆς γῆς· καὶ μετὰ τοσαῦτας, καὶ τοιαύτας ψήφους, ἐνέμεινεν ὅμως λέγων· μήποτε τῇ συνεχείᾳ, καὶ τῷ μεγέθει τῶν ἐπαγομένων αὐτῷ κακῶν δυνηθῶ αὐτὸν ἀναγκάσαι, καὶ τὸν μέγαν τοῦτον καταδικεῖν πύργον;

Τίς οὖν ἡμῖν ἔσται συγγνώμη, ἀγαπητοί, τίς ἡ ἀπολογία, εἰ τοσαύτην τοῦ πονηροῦ δαίμονος καθ' ἡμῶν κεχημένου μανίαν, καὶ τὸ πολυτρόπον τοσαύτης ἀσυδησίας εἰς τὴν σωτηρίαν τῶν ἡμετέρων ἀδελφῶν εἰσενέγκαιμεν, καὶ ταῦτα τὸν θεὸν σύμμαχον ἔχοντες;

Ὅταν γοῦν ἴδῃς σκληρὸν καὶ ἀπηνῆ τὸν ἀδελφόν, καὶ μὴ φροντίζοντά σου· λέγε πρὸς σεαυτόν, μήποτε τῷ χρόνῳ δυνηθῶμεν αὐτῷ; οὕτω καὶ Παῦλος ἐκέλευσε ποιεῖν. σφοδρὸν δὲ κυρίου οὐ δεῖ μάχεσθαι· ἀλλ' ἤπιον εἶναι πρὸς πάντας, ἐν πραΰτητι παιδεύοντα τοὺς ἀντιδιατιθεμένους, μήποτε δώῃ αὐτοῖς ὁ θεὸς μετάνοιαν εἰς ἐπίγνωσιν ἀληθείας.

Οὐχὶ δίκας τοὺς πατέρας, πῶς πολλάκις τῶν υἱῶν αὐτοῖς

τοῖς

τοῖς ἀπογνωσμένων, παροχλόμενοι δακρύοντες, θρηνοῦντες, καταφιλοῦντες, τὰ παρ' ἑαυτῶν εἰσφέροντες ἅπαντα, ἕως ἐχάτης ἀναπνοῆς; τοῦτο καὶ σὺ πρὸς τὸν ἀδελφὸν ποίησον. καίτοι ἐκεῖνοι μὲν ἀπὸ τῶν θρήνων, καὶ τῶν δακρύων, ὅτε τὴν ἀῤῥωσίαν ἀπελάσαι, οὔτε τὸν θάνατον ἐπελθόντα ἀποκρούσασθαι δυνῶν).

Σὺ δὲ ψυχὴν ἀπογνωσθεῖσαν, τῇ καρτερίᾳ καὶ τῇ προσευχῇ δυνηθεὶς πολλάκις διὰ τῶν θρήνων ὑπαναπάσασθαι καὶ ἀναζῆσαι. συνεβούλευσας, καὶ οὐκ ἔπεισας; δάκρυσον, καὶ καθάψῃ πολλάκις· σύναζον πικρὸν, ἵνα ἀδελφὸς σου τῷ κηδεμονίᾳ, ὀπίσω ἐπὶ τὴν σωτηρίαν.

Τί δυνήσομαι ἐγὼ μόνος ποιεῖν; οὐ γὰρ δὴ πᾶσιν ὑμῖν καθ' ἑκάστην συγγίνεσθαι δυναμένου τὴν λιμέραν, οὐδὲ ἀρκῶ πλήθει τοσούτῳ διαλέγεσθαι μόνος. ὑμεῖς δὲ εἰ βουληθείητε τὴν ἀλλήλων διανείμασθαι σωτηρίαν, καὶ ἕκαστος ἕνα ἀπολαβεῖν τῶν λιμοκτονούντων ἀδελφῶν, ταχέως λιμὸν τὰ τῆς οἰκουμένης αὐξηθήσεται.

Καὶ τί χρὴ λέγειν πρὸς τοὺς μετὰ πολλῆς παρεκτείνειν ἀνακταμένων ἑαυτούς; οὐδὲ γὰρ ἐκείνων, τοὺς τὰ αἰσχρὰ νοσοῦντων ἀφίστασθαι χρὴ καὶ ἀμελεῖν· καὶ γὰρ φθάνοντες ἅμα σαφῶς, ὅτι πολλῆς ἀπολαύσαντες τῆς παρουσίας καὶ συμβουλῆς, οὐδὲν κερδάνουσι πλέον.

Εἰ δὲ παράδοξος ὑμῖν ὁ λόγος εἶναι δοκεῖ· φέρε, ἀφ' ὧν χριστὸς ἐπίνοιά τε καὶ εἶπεν, ἀπὸ τούτων αὐτὸν πιστωσώμεθα. ἡμεῖς μὲν γὰρ οἱ ἀνθρωποι τὸ μέλλον ἀγνοοῦμεν, ὅθεν οὐδὲ διϊσχυρίζεσθαι δυνάμεθα πρὸς τὴν ἀκρόασιν εἴτε πεισθήσονται εἴτε ἀπιστήσουσι τοῖς παρ' ἡμῶν λεγομένοις.

Ὁ δὲ χριστὸς ταῦτα ἀμφότερα εἰδὼς σαφῶς, οὐ διέλιπε τὴν ἐκ ἀκουσόμενον αὐτὴν διορθούμενος μέχρι τέλους.

Τὸν γὰρ Ἰούδαν εἰδὼς ἐκ δόκησιν σύμβουλον τῆς προδοσίας, οὐ διέλιπε συνεχῶς συμβουλαῖς, παραινέσεσιν, ἐνεργείαις, ἀπειλαῖς, παύλῃ τρόπῳ διδασκαλίας ἀνασείλων αὐτὸν ἐκ τῆς προδοσίας καὶ ἀναχρώμενος, ὥσπερ τινὶ χαλινῷ τῷ λόγῳ. τοῦτο δὲ ἐποίει, παιδεύων ἡμᾶς, ἵνα κἂν προειδῶτες ὦμεν, ὅτι ὁ πληθύσιν οἱ ἀδελφοὶ, τὰ παρ' ἑαυτῶν ἅπαντα πληροῦμεν, ὡς ἀπηρτισμένου τῆς συμβουλῆς ἡμῖν τοῦ μαθητοῦ.

» Καὶ ὅρα πῶς αὐτὸν ἀνέστελλε δι' ὧν ἔλεγε. εἷς ἐξ ὑμῶν παρα-
» δώσει με. καὶ πάλιν, οὐ περὶ πάντων ὑμῶν λέγω, οἶδα οὓς
» ἐξελεξάμην. καὶ πάλιν· εἷς ἐξ ὑμῶν διάβολός ἐστι. καὶ διεί-
χετο πάντας ἐν ἀγωνίᾳ καθιστᾶν ὥστε μὴ ἐκπομπεύσαι τὸν προδότην, καὶ ἀναισχυντότερον ποιῆσαι τῇ τῶν ἐλέγχων περιφανείᾳ.

Ὅτι γὰρ καὶ τοῖς ἄλλοις ἀγωνίαν καὶ φόβον ἐνέβαλε τὰ λεγόμενα, καίτοι μηδὲν ἑαυτοῖς συνῳδὸν πονηρὸν, ἄκουσον
» πῶς ἕκαστος ἀγωνιᾷν ἔλεγε. μήτι ἐγώ εἰμι κύριε; οὐ διὰ ῥημάτων δέ μόνον, ἀλλὰ καὶ διὰ προσχημάτων αὐτὸν ἐπαίδευεν. ἐπεισὴν γοῦν τινὶ ἑαυτῷ φιλανθρωπίαν ἐπεδείξατο πολλάκις καὶ διὰ πάντων, λεπροὺς καθαίρων, δαίμονας ἀπελαύνων, νοσοῦντας ἰάμβος, νεκροὺς ἐγείρων, παραλελυμένους συναφίγγων καὶ πάντας μᾶλλον ἐνεργέτησεν, ἐκόλα-
» σε δὲ οὐδένα, καὶ συνεχῶς ἔλεγεν, ἐκ ἦλθον ἵνα κρίνω τὸν
» κόσμον ἀλλ' ἵνα σώσω τὸν κόσμον.

Ἵνα δὲ μὴ νομίσῃ ὁ Ἰούδας, ὅτι ἐνεργητεῖν μᾶλλον οἶδεν ὁ χριστὸς, κολάζειν δὲ ἐκ ἔτι, καὶ τοῦτο αὐτὸν διυλίσκῃ τὸ μέρος δεῖ ὅλι καὶ κολάζειν δύναται καὶ τιμωρεῖσθαι τοὺς ἁμαρτάνοντας.

Καὶ

Καὶ ὅρα πῶς σοφῶς καὶ προσηκόντως καὶ τοῦτον μὴ ἐπαίνεσεν, καὶ ἀνθρώπων ἀδίνα κολάσαι, οὐσὲ τιμωρήσασθαι διενέχετο. πῶς οὖν; ἵνα μάθῃ τὴν τιμωρητικὴν αὐτοῦ δύναμιν ὁ μαθητής. εἰ μὴ γὰρ ἐκόλασέ τινα, ἔλεγεν ἂν ἑαυτὸν λέγων· οὐκ ἦλθον ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σώσω τὸν κόσμον.

Πάλιν, εἰ μηδένα ἐκόλασεν, ἀδιόρθωτος ἔμενεν ὁ μαθητὴς, ἀ μανθάνων διὰ τῶν ἔργων τὴν κολαστικὴν αὐτοῦ δύναμιν. τί οὖν; ἵνα γένηται, ὥστε καὶ τὸν μαθητὴν φοβηθῆναι καὶ μὴ καταφρονήσαντα γενέσθαι χείρω, καὶ ἀνθρώπων μηδένα πλυνῆναι, μηδὲ κόλασιν ὑπομεῖναι καὶ τιμωρίαν· εἰς τὴν συκῆν τὴν δύναμιν ταύτην ὑπέδειξεν ὁ Χριστὸς, εἰπὼν, μηκέτι ἐκ σοῦ καρπὸς γένηται· καὶ ῥήματι ψιλῷ ξηράνας αὐτὴν παραχρῆμα. οὕτω γὰρ ὅτε ἄνθρωποι πάντες ἔμφυον ἀβλαβεῖς, αὐτός τε τὴν ἑαυτοῦ δύναμιν ἐπεδείκνυτο καὶ φυτὸν δένδρων τὴν τιμωρίαν.

Καὶ ὁ μαθητὴς ἦ εἰ προσεῖχε, μεγάλων ἂν ἀπὸ τῆς κολάσεως ταύτης ἐκαρπώσατο τὴν ὠφέλειαν. ἀλλ' ὅμως ἀδὲ οὕτω διωρθώθη. ὁ δὲ Χριστὸς καὶ τοῦτο προσεδώκει οὐχὶ τοῦτο μόνον, ἀλλὰ καὶ ἕτερον μετὰ τούτου πολλῷ μεῖζον τούτου ἐποίησεν. ὅτε γὰρ ἐπείθοντο αὐτῷ οἱ Ἰουδαῖοι μετὰ μαχαιρῶν καὶ ξύλων, τὰς χεῖρας ὡπλισάνλες κατ' αὐτοῦ, τότε πάντας αὐτοὺς ἐπήρωσε. τὸ γὰρ εἰπεῖν, τίνα ζητεῖτε; τοῦτο ἐμφαίνοντος ἦν.

Εἰκότως γὰρ ἔλεγε συνεχῶς ὁ Ἰούδας· τί θέλετέ μοι δοῦναι, καὶ ἐγὼ ὑμῖν παραδώσω αὐτόν; βουλόμενος ὁ κύριος καὶ τοὺς Ἰουδαίους πεῖσαι, καὶ ἐκεῖνον διδάξαι ὅτι ἑκὼν ἔρχεται ὅπι τὸ πάθος, καὶ τὸ πᾶν αὐτοῦ ἐστιν, οὐ τῆς ἐκείνου κακουργίας συνηθείσης αὐτοῦ περιγενέσθαι, αὐτοῦ

» τῦ τῦ προδότου μ πάντων ἐχθῶτος, φησί, τίνα ζητεῖτε;

Οὕτως οὐκ ἤσθη ὧν ἐμέλησε παρρησίαν, ἀλλ' ἐπήρθη τὸν αὐτὸν τρόπον. κ οὐ τοῦτο μόνον, ἀλλὰ κ τοὺς ἄλλους ἅπαντας ἐρρίψε διὰ τῆς φωνῆς ταύτης. κ ἵνα εἰδῇ μηδὲ τοῦτο αὐτοὺς ὀπίσω ἐρωτᾶν ἐποίησε, μηδὲ τὸν μισθὸν ἐκεῖνον τ προδοσίας ἀπέδωκεν, ἀλλ' ἔμεινεν αἰτίατος ὤν, οὐδὲ οὕτω πάλιν ὁ χριστὸς ἀπέστη τ περὶ αὐτὸν εὐνοίας τε κ ἐπιμελείας.

Ἀλλ' ὅρα πῶς εἰς ἐπιτηδειοτάτην τ ἀναισθησίαν καθάπτεται ψυχῆς· κ φθέγγεται ῥῆμα ἱκανὸν κ λιθίνην μαλάξαι διάνοιαν. ἐπειδὴ γὰρ ὥρμησεν αὐτὸν φιλῆσαι, τί φησὶν Ἰούδα, φιλήματι τὸν υἱὸν τ ἀνθρώπου παραδίδως; οὐδὲ αὐτὸ τ προδοσίας αἰσχύνη τὸ σχῆμα;

Ταῦτα δὲ ἔλεγε ὁ χριστὸς καθαπτόμενος αὐτοῦ, κ τ προτέρας ἀναμιμνήσκων συνηθείας. ἀλλ' ὅμως τοσαῦτα τῦ κυρίου κ ποιήσαντος, κ εἰπόντος, οὐκ ἐγίνετο βελτίων ἐκεῖνος· ἀλλ' ἐν παρέργῳ τοῦ συμβουλεύσαντος ἀσθένειαν, ἀλλὰ παρὰ τὴν αὐτοῦ ῥᾳθυμίαν.

Ὁ δὲ χριστὸς καίτοι τὰ πάντα προδιδούς, οὐ διέλιπεν ἐξ ἀρχῆς μέχρι τέλους τὰ παρ' ἑαυτῦ πάντα ἐπιδεικνύμενος. ἄκουε οὖν κ ἡμᾶς εἰδότας, ἀγαπητοί, συνεχῶς κ διὰ παντὸς τὰς ἠμελημένας τ ἀδελφῶν τ ἡμετέρων ῥυθμίζειν κ φιλεῖν χρὴ, κἂν μηδὲν ἐκ τ συμβουλῆς γίνηται κέρδος. εἰ γὰρ ὁ τὸ τέλος εἰδὼς λοιπὸν ἐσόμενον, τοσαύτην, πρὸς τ οὐδὲν μέλλοντα καρπώσασθαι ἐκ τ παραινέσεως ταύτης, ἐχρήσατο προνοίᾳ· πόσας ἂν εἰκότως ἄξιοι συγγνώμης ἡμεῖς, ὅταν μηδὲ τ τ πραγμάτων ἔκβασιν εἰδότες, ὅτω τῆς τ πλησίον σωτηρίας ῥαθυμῶμεν, ἐκ πρώτης κ δευτέρας αὐτὸς συμβουλῆς ἐγκαταλιμπάνοντες;

Μετὰ

Μετὰ δὲ τῆς εἰμμήσεων ἀπάντων, καὶ τὰ καθ' ἡμᾶς αὐτοὺς ἐνοήσαμεν, ὅτι καθ' ἑκάστην ἡμέραν τῆ θεοῦ φωνῆς ἡμᾶς διαλεγομένου διὰ τῆς φερούσης, διὰ τῆς ἀποστόλων, καθ' ἑκάστην παρακούομεν τῶν ἡμέραν· καὶ ἡμῶν ἐκ ἀφίσταται, καὶ διαλεγόμενος, καὶ παρακαλῶν ἀεὶ τοὺς ἀφιστῶντας καὶ μὴ φροσέχοντας.

Καὶ βοᾶ Παῦλος, λέγων, ὡσπερ κυρίᾳ φησοβεύομαι, ὡς τοῦ θεοῦ παρακαλοῦντος δι' ἡμῶν, δεόμεθα ὑπὲρ χριστοῦ, καταλλάγητε τῷ θεῷ. εἰ γὰρ χρή τι καὶ θαυμαστὸν εἰπεῖν· οὐ τοσούτων ἐπαίνων ἄξιος ὁ φροφήτης, ὅτι φειθήσεται πάντας ὁ δεσπότης τῶν συμβουλῶν, καὶ ὅτα συμβουλεύων· ὡς ὁ πολλάκις μὲν εἰπὼν καὶ συμβουλεύσας, καὶ δάκρυσι, ἐκ ἀφιστάμενος δὲ, ἀδὲ ὄντας. τὸν μὲν γὰρ φροφήτην, ἡ τῆς πρόθέσεως ἐλπὶς ἐκ ἀκούοντα, κἂν ἀπάντων παθέστερος ᾖ, διατείρει πρὸς τὸ παράπτειν. ἔλος ἢ ὁ σωτὴρ συμβουλεύων καὶ παρακαλέμενος, εἶτα ἐκ ἀφιστάμενος, δεσμωτάτης καὶ λυσιτελεστάτης ἀγάπης τεκμήριον ὑποδείκνυται· ἐλπίδι μὲν εὐθυμίᾳ τοιαύτῃ τρεφόμενος, διὰ δὲ τοῦτο φροσὸς τὸν ἀκούοντα φίλον μόνον, τῆς φροσῆκούσης ἀδελφὸν ἐκ ἀφιστάμενος ὑπομελείας.

Ἀλλ' ὅτι μὲν χρὴ μηδέποτε ἀφίστασθαι τῆς πεπαικότων, κἂν φρονεῖν δόξωμεν ὅτι οὐ πειθήσονται λέγειν, ἱκανῶς ὑποδέδεικται. δεῖ δὲ λοιπὸν ὑπὲρ τῶν τρεφόντων κατηγορῆσαι βεβήσεως. ἵνα γὰρ ἀνέχηται ἡ ἑορτὴ αὕτη, καὶ τὰ ἄλλα τῆς μέθης ἐν ταῖς τῆς μαθητῶν ἐργάζεται ψυχαῖς ὁ διάβολος, καὶ ἡμῶν τὰ φάρμακα ὑπτιάνει χρή.

Χθὲς μὲν ἔφην τὸν Γαῦλον αὐτοῖς ἐπιτεχίσειν λέγοντα· εἴτε ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν θεοῦ ποιεῖτε. σήμερον ἢ τὸ Γαῦλος διοπτίνω ἐπέχεμεν

αὐτοῖς

αὐτοῖς, οὐχὶ παραινοῦντα μόνον, οὐδὲ συμβουλεύοντα ἀπέχεσθαι ῥυφῆς, ἀλλὰ καὶ κολάζοντα τὸν ἐν τρυφῇ ζῶντα καὶ τιμωρούμενον.

Ἡ γοῦν τοῦ πλησίου καὶ τοῦ Λαζάρου, καὶ τῆς ἑκατέρας συμβάντων ἰσορία, ἀφορὴν ἕτερον ἢ τοῦτο ἐνδείκνυται μᾶλλον δὲ ἵνα μὴ παρέρχως τοῦτο ποιήσωμεν, ἄνωθεν ὑμῖν αὐτὴν ἀναγνώσομαι τὴν παραβολήν.

Ἄνθρωπός τις ἦν πλούσιος, καὶ ἐνεδιδύσκετο πορφύραν
» καὶ βύσσον, εὐφραινόμενος καθ' ἡμέραν λαμπρῶς. πτωχὸς
» δέ τις ἦν ὀνόματι Λάζαρος, ὃς ἐβέβλητο εἰς τὸν πυλῶνα
» αὐτοῦ εἱλκωμένος, καὶ ἐπιθυμῶν χορτασθῆναι ἀπὸ τῶν ψιχίων
» τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τοῦ πλουσίου. ἀλλὰ καὶ οἱ κύνες
» ἐρχόμενοι, ἐπέλειχον τὰ ἕλκη αὐτοῦ.

Τίνος μὴν ὧν ἕνεκεν ἐν παραβολαῖς ἐλάλει ὁ δεσπότης, καὶ τί δήποτε τῶν παραβολῶν τὰς μὲν ἔλυε, τὰς δ' οὐκ ἔλυε καὶ τί ποτ' ἐστὶν ἡ παραβολὴ, καὶ ὅσα τοιαῦτα, εἰς ἕτερον ταμιευσώμεθα καιρόν· ὥστε μὴ τὸν κατεπείγοντος ἀποστῆναι λόγου νῦν.

Ἐκεῖνο δ' ἐστὶν ὃ πρὸς ὑμᾶς εἰρῆσθαι μόνον, τίς ἐστι τῶν εὐαγγελιστῶν ὁ τὴν παραβολὴν ταύτην εἰρηκέναι φησὶν χρεὼν εἰπών. τίς οὖν ἐστιν; ὁ Λουκᾶς μόνος. καὶ γοῦν τοῦτο ἀναγκαῖον εἰδέναι. ὅτι τῶν εἰρημένων, τὰ μὲν οἱ τέσσαρες εἶπον, τὰ δ' κατ' ἰδίαν ἕκαστος ἀπολαβών.

Τίνος ἕνεκεν; ἵνα καὶ τῶν λοιπῶν ἀναγκαία ἡμῖν ἡ ἀνάγνωσις φαίνηται, καὶ τὸ τῆς συμφωνίας ἐξαίρετον διαφανῇ. εἰ μὲν γοῦν πάντες πάντα εἶπον, οὐκ ἂν πᾶσι μετὰ ταῦτα προσεῖχομεν, ἀρκούντος ἑνὸς διδάξαι τὸ πᾶν. εἰ δὲ πάντες πάντα ἐξηλλαγμένα εἶπον, οὐκ ἂν ἐφάνη τὸ τῆς συμφωνίας ἐξαίρετον. Διὰ τοῦτο καὶ κοινῇ πάντες πολλὰ ἐγράψαν, καὶ κατ'

ἰδίαν

ἰδίῳ ἔκφορος ἀπολαβών.

Οὔκουν ὅτι χρυσὸς διὰ τῆς παροιμίας διδάσκει τοῦτό ἐστιν. ἄνθρωπός τις, φησί, ἦν ὁ πλούσιος, καὶ κακία πολλὴ συζῶν οὐδεμιᾶς ἀπεῖχεν εὐδαίμονος, ἀλλὰ πάντα αὐτῷ, ὅσα ἂν ἐκ πηγῶν ἐπέρρει.

Οὔτι γὰρ ἀδηλὸν τὴν ἀδοκήτων αὐτῷ συμβαίνειν, οὐδὲ ἀθυμίας ὑπόθεσις, ἀλλ' ἀναμαλία τις βιωτικὴ, αὐτὸ τοῦτο ἠνίξατο τῷ εἰπεῖν, ὅτι ἠυφραίνετο καθ' ἡμέραν. ὅτι δὲ κακία συμβίζη, δῆλον μὲν καὶ ἐκ τοῦ λαχόντος αὐτῷ τέλους, καὶ πρὸ τοῦ τέλους ἦ, ἐκ τοῦ πρὸ τῆς πέψεως γενομένης εὐφροσύνης. ὅτι γὰρ ἀ μόνον ἐκεῖνον ἢ ἐν τῷ πυλῶνι, ἀλλ' οὐδ' ἄλλον τίνα ἠλέησε, αὐτὸς ἐκεῖνος τοῦτο ἐδήλωσεν.

Εἰ γὰρ ἢ ἐν τῷ πυλῶνι δυνατῶς ἐρριμμένον, καὶ πρὸ τῶν ὀφθαλμῶν κείμενον, ὃν καθ' ἑκάστην ἡμέραν, καὶ ἅπαξ, καὶ δὶς, καὶ πλειονάκις ὁρᾶν ἠναγκάζετο, εἰσιὼν, καὶ ἐξιὼν (οὐ γὰρ ἐν ἀμφόδῳ, οὐδ' ἐν κρυπτῷ καὶ σκοτεινῷ κατέκειτο τόπῳ, ἀλλ' ἔνθα συνεχεῖς τὰς εἰσόδους καὶ τὰς ἐξόδους ποιούμενος ὁ πλούσιος, ἄκων αὐτὸν ὁρᾶν ἠναγκάζετο·) εἰ τούτων οὖν οὐκ ἠλέησε, [τὸν ἐν τοιούτῳ χαλεπῷ πάθει κατακείμενον, καὶ πενίᾳ καὶ ἀπορίᾳ τοσαύτῃ συζῶντα, μᾶλλον δὲ διὰ παντὸς τῆς βίου ἀῤῥωστίᾳ ταλαιπωρούμενα, καὶ ἀῤῥωστίᾳ χαλεπωτάτῃ] πρός τίνα ἂν τῶν ἐντυγχανόντων ἐπικάμψειε πότε;

Καὶ γὰρ εἰ τῶν προσθίων ἡμέραν παρίδραμε, τῶν δευτέραν εἰκὸς ἦν τι παθεῖν. εἰ δὲ καὶ ἐν ταύτῃ παρεῖδεν, ἀλλὰ τῶν τρίτων, ἢ τῶν τετάρτων, ἢ τῶν μετ' ἐκείνων πάντως αὐτὸν ὑπεκάμψαι ἔδει, καὶ εἰ τὴν ἀσθένειαν ἀγριώτερος ἦν. ἀλλ' οὐδὲν ἐποίησε τοιοῦτον.

Ἀλλὰ καὶ ἐκεῖνα τῆς δικαίας, τοῦ μήτε τὸν θεὸν φοβου-

μῦ, μήτε ἀνθρώπε αἰσχυμμένε, καὶ ἱταμωτέρες, καὶ ἀπανίςερες γίγονεν. ἐκεῖνον μὲν γὰρ ἡ τ χήρας σωιέχλα, καὶ τὰ τέκνα, ὠμὸν ὄντα καὶ ἄγριον, δεινῶς ἀγρίαινε τὴν χάριν ἔπεσε, καὶ πρὸς τὴν ἱκετηρίαν ἐπέκαμψε. τῦτον δὲ, καὶ τὰ τῦτο ἰχνος ἐν ὑπεκάμψας, πρὸς τὴν τ πένητος ἀντίληψιν.

Καίτοιγε ἰσως ἴσην ἦν ἡ αἴτησις· ἀλλ' αὕτη πολλῷ ἐυκολωτέρα καὶ δικαιολογίας. ἡ μὲν γὰρ χὴρ τὴν ἐχθρὸν αὐτὸν παρακάλει, δεῖται δὲ ἡξίου λῦσαι λιμὸν, καὶ μὴ πρεπόδειν δοπλύμβων. κἀκεῖνη μὲν ἀνώχλη παρακαλῶσα, δεῖται δὲ πολλάκις τ ἡμέρας ἐφαίνετο τὰ πλησίον σηκὸν κείμενος. πολὺ δὲ τῦτο ἰκανὸν μαλάξαι μᾶλλον καὶ λιθίνην διάνοιαν. ἐνοχλόυμβοι γὰρ πολλάκις, καὶ παροξυνόμεθα. ὅταν δὲ τὰς δεομένας βοηθείας ἴδωμεν σηκῷ παρεςῶτας, καὶ μηδὲν φθεγγομένας. ἀλλ' ἄποτυ χάσκοντας μὲν ἀεὶ, μὴ δυσχεραίνοντας δὲ, ἀλλὰ σηκῷ φαινομένας μόνον ἡμῖν καὶ αὐτῶν τὴν λίθων ἅμα ἀναισθητότερον, τ ὑπερβολὴν τ ὀπτικείας αἰσθανόμενοι καταγελώμεθα.

Καὶ ἕτερον δὲ τι πρὸς τύτοις τύτων ἐκ ἐλαττον ἦν, τὸ καὶ τὴν ὄψιν αὐτῶν ἐλεεινὴν εἶ) τῦ πένητος, λιμῷ καὶ ἀῤῥωςίᾳ μακρᾷ κατειργασθεῖσαν. ἀλλ' ὅμως ἰδεῖν τύτων τ ἀνήμερον ἐκεῖνον ἠμάλαξεν.

Πρώτη μὲν ὖν κακία αὕτη ἀμότητος, καὶ ἀπανθρωπία ὑπερβολὴν ἐκ ἔχυσα. οὐ γὰρ ἐςιν ἴσον ἐν πενίᾳ τινα ζῶντα μὴ βοηθεῖν τοῖς δεομένοις, καὶ τοσαύτης ἀπολαύοντα τρυφῆς, λιμῷ τηκομένης ἑτέρας ἀθεωρᾶν. πάλιν ἐκ ἔςιν ἴσον, ἅπαξ ἢ δεύτερον ἰδόντα πλωχὸν παρακαλεκμεῖν, καὶ καθ' ἑκάςην ἡμέραν κλίποντα, μηδὲ ὑπὸ τῆς χὴρ τὴν ὄψιν συνεχείας, πρὸς τὸν ἔλεον καὶ τὴν φιλοδραπέτην τύτην διακαῆναι.

Πάλιν

Πάλιν ἰδὲ ἔστιν ἴσον εἰ συμφορᾶς ὄντα καὶ ἀθυμίαις, καὶ πονηροῦ τοῦ ψυχῆ διακείμενον μὴ δεῖσθαι τοῦς πλησίον, καὶ τὸ σαύτης ἀπολαύοντα ἐυφροσύνης, καὶ διηνεκοῦς ἐυπαρηγίας, λιμοῦ τινες μύες ἐτέρους σφεῖραν, καὶ ἀποκλεῖσαι τὰ σπλάγχνα, καὶ μηδὲ ὑπὸ τῆς χαρᾶς αὐτῆς γενέσθαι φιλανθρωπότερον.

Ἔστι γὰρ ἡλίκου τοῦτο, ὅτι καὶν ἁπάντων ὦμεν ἀγενεστέρων, ταῖς ἐυπαρηγίαις ἡμερώτεροι, καὶ χρηστότεροι πεφύκαμεν γίνεσθαι. ἀλλ' ἐκεῖνος οὐδὲ ὑπὸ τῆς ἐυκλείας βελτίων ἐγένετο, ἀλλ' ἔμενεν ἀπηνθρακωμένος, μᾶλλον δὲ καὶ θηρίου πάντως ὠμότητα, καὶ ἀπανθρωπίαν τοῖς πένησιν ἀπεκρύπτετο. ἀλλ' ὅμως ὁ μὲν ἐν πορφύρᾳ ζῶν καὶ ἀπανθρωπίᾳ, πάσης ἀπήλαυεν ἐυπαρηγίας, ὁ δὲ δίκαιος, καὶ ἀρετῆς ὀλυμπιονίκης, ἐν ἕλκεσιν ἦν κακοῖς.

Ὅτι γὰρ δίκαιος ὁ Λάζαρος ἦν, πάλιν καὶ ἐνταῦθα τὸ τέλος ἀπίδωμεν, καὶ ἀφ' τοῦ τέλους, αὐτὸν ἀπ' ἀρχῆς πειράσωμεν θεάσασθαι.

Ἄρα οὐ δοκεῖτε αὐτὰ παρόντα τὰ ἀποβήματα ὁρᾶν; πλήρης τῶν πλουσίων ἡ ναῦς τῆς ἐμπορίας ἦν, καὶ ἐξ ὠκεανοῦ ἔπλει. ἀλλὰ μὴ θαυμάσητε, εἰς ναυάγιον γὰρ ἐκινδύνευε, ἐπειδὴ τὸν φόρτον οὐκ ἀθέλησιν ἀποθέσθαι μετ' εὐλαβείας.

Βούλῃ σοι καὶ ἑτέρου εἶπω κακοῦ ἀπ' αὐτοῦ, τὸ καθ' ἑκάστην ἡμέραν τρυφᾶν ἀδιαλείπτως; καὶ γὰρ καὶ τοῦτο κακὸν ἐκάστῃ, οὐχὶ νῦν, ὅτε τοσαύτην ἐπαιτούμεθα φιλοσοφίαν, ἀλλὰ καὶ ἐν ἀρχῇ, ὅθεν τε παλαιὰς, ὅτε οὐ τοσαύτης φιλοσοφίας ἐνδεεῖς ἦν.

Ἄκουσον γοῦν τί φησὶν ὁ προφήτης. ἐναὶ οἱ ἐρχόμενοι

μῶμοι εἰς ἡμέραν κακὴν, οἱ ἐγκίζοντες καὶ ἀποδόμωμοι σαββάτων ψευδῶν.

Τί ἐστιν, οἱ ἀπόμωμοι σαββάτων ψευδῶν; οἱ Ἰουδαῖοι νομίζουσιν ὅτι διὰ ἀργίαν αὐτοῖς τὸ σάββατον δέδοται. οὐκ ἔστι δὲ αὕτη ἡ αἰτία, ἀλλ' ἵνα τῶν βιωτικῶν ἑαυτοὺς ἀπαγαγόντες, τῷ σχολῇ ἅπασαν εἰς τὰ πνευματικὰ ἀναλίσκωσιν.

Ὅτι δὲ οὐκ ἀργίας ἐστὶ τὸ σάββατον, ἀλλ' ἐργασίας πνευματικῆς ὑπόθεσις, ἀπ' αὐτῶν τῶν πραγμάτων δῆλον. ὁ γοῦν ἱερεὺς διπλοῦν ἔργον ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ποιεῖ· καὶ καθ' ἑκάστην ἡμέραν ἁπλῆς ἀναφερομένης θυσίας, διπλῆν ἀναφέρειν κελεύεται τότε. εἰ δὲ καθάπαξ ἀργίας ἦν τὸ σάββατον, πρὸ τῶν ἄλλων τὸν ἱερέα ἀργεῖν ἐχρῆν.

Ἐπεὶ οὖν οἱ Ἰουδαῖοι ἀπὸ τῶν βιωτικῶν ἀπαλλαγέντες πραγμάτων, τοῖς πνευματικοῖς ἐπρόσεῖχον, σωφροσύνῃ, καὶ εὐπειθείᾳ, καὶ ἀκροάσει θείων λογίων· ἀλλὰ τοὐναντίον ἐπίονων χαριζόμενοι, μεθύοντες, διαῤῥηγνύμενοι, γυφῶντες, διὰ τοῦτο κατηγόρησεν αὐτῶν ὁ προφήτης.

Εἰπὼν γὰρ, καὶ οἱ ἐρχόμενοι εἰς ἡμέραν κακὴν, καὶ ἐπαγαγὼν οἱ ἐφαπόμωμοι σαββάτων ψευδῶν, ἔλειξε διὰ τῆς ἐπαγωγῆς, πῶς ἦν αὐτοῖς τὰ σάββατα ψευδῆ. πῶς οὖν αὐτὰ ἐποίουν ψευδῆ; τῇ κακίᾳ ἐργάζεσθαι, γυφῶντες, μεθύοντες, καὶ τὰ μυρία ἄτοπα, καὶ χαλεπὰ πράττοντες. καὶ ὅτι τοῦτό ἐστιν ἀληθὲς, ἄκουσον τῆς ἐξῆς. δείκνυσι γὰρ ὀλίγῳ
» δὲ ὧν ὑστερον ἐπάγει καὶ λέγει· οἱ καθεύδοντες ὅτι κλι-
» νῶν ἐλεφαντίνων, καὶ κατασπαταλῶντες ὅτι στρωμνῶν ἐν-
» τῆ, οἱ ἐσθίοντες ἐρίφους ἐκ ποιμνίων, καὶ μοσχάρια ἐκ βου-
» κολίων γαλαθηνά· οἱ πίνοντες μετὰ διϋλισμένου οἴνου, καὶ τὰ
» πρῶτα μύρα χριόμενοι.

Ἔλαβες

Ἔλαβε τὸ σάββατον ἵνα τῆς πονηρίας ἀπαλλάξῃς, φησὶ, τὴν ψυχὴν σὺ δὲ αὐτὴν κατεργάζῃ πλείω. τί γὰρ ἂν γένοιτο τῆς βλακείας ταύτης χεῖρον, ἢ τὸ ἐπὶ κλινῶν ἐλεφαντίνων καθεύδειν; αἱ ἄλλαι ἁμαρτίαι, κἂν μικράν τινα ἡδονὴν ἔχουσιν, ὅμως, ἐν τῇ μέθῃ, καὶ πλεονεξίᾳ, καὶ αἰσχρίᾳ. τὸ δὲ ὅτι κλινῶν ἐλεφαντίνων καθεύδειν ποίαν ἡδονὴν ἔχει; ποίαν παραμυθίαν; μᾶλλον δὲ ἡδίω καὶ γλυκύτερον ἡμῖν τὸν ὕπνον ἐργάζεται τῆς κλίνης τὸ κάλλος; φορτικώτατον μᾶλλον μᾶν ἐστι καὶ ἐπαχθέστατον τοῦτο, ἐὰν νοῦν ἔχωμεν.

Ὅταν γὰρ ἐνθυμήσῃ, ὅτι σου καθευδόντος ὅτι κλίνης ἐλεφαντίνης, ἕτερος ὀυσὶ ἄρτου μιᾶς ἀδείας ἀπολαύειν ἔχει· οὐ καταγνώσεταί σου τὸ σωτειδὸς, καὶ ἐπαρασήσεται, κατηγορῶν τῆς ἀνωμαλίας ταύτης; εἰ δὲ ὅτι ἐλεφαντίνων κλινῶν καθεύδειν ἔγκλημα, ὅταν καὶ ἀργύρῳ πεποικιλμένας πάντοθεν ὦσιν, ποίαν ἕξομεν ἀπολογίαν;

Βούλῃ κάλλος κλίνης ἰδεῖν; ἐγώ σοι δείκνυμι νῦν, οὐκ ἰδιωτικῆς, οὐδὲ στρατιωτικῆς, ἀλλὰ βασιλικῆς κλίνης ἐυπρέπειαν, κἂν γὰρ φιλοτιμώτατος ᾖς πάντων, ἴσθι ὅτι τῆς τοῦ βασιλέως κλίνης οὐκ ἐθελήσεις ἔχειν ἐυπρεπεστέραν· καὶ, τὸ δὴ μεῖζον, οὐ τοῦ τυχόντος βασιλέως, ἀλλὰ τοῦ θεοῦ, καὶ τῶν πάντων βασιλέων βασιλικωτέρου, καὶ μέχρι τῶν ἐσχάτων πανταχοῦ τῆς οἰκουμένης. δείκνυμί σοι κλίνην τὴν τοῦ μακαρίου, λέγω, Δαβίδ.

Ποταπὴν τοίνυν ἔχει ταύτην; οὐκ ἀργύρῳ καὶ χρυσῷ· ἀλλὰ δάκρυσι, καὶ ἐξομολογήσεσι πάντοθεν ἦν κεκαλλωπισμένην. καὶ ταῦτα αὐτὸς φησιν οὕτω λέγων· "λούσω καθ' "ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν "στρωμνήν μου βρέξω. ὥστε μὲν γὰρ μαργαρίτης τὰ δάκρυα "αὐτῆς ἐπετήδα πάντοθεν.

Καὶ σκόπει μοι φιλόθεον ψυχήν. ἐπεισῆλθε γὰρ ἐν ἡμέρᾳ πολλαὶ αἱ φροντίδες ἀρχόντων, ταξιαρχῶν, ἡθαρχῶν, στρατιωτῶν, πολέμων, εἰρήνης, τῶν πολιτικῶν πραγμάτων, τῶν κατὰ τὴν οἰκίαν, τῶν πόρρωθεν, τῶν πλησίον, περιεῖλκον αὐτὸν καὶ ἀπῆγον· τὴν σχολὴν ἣν πάντες εἰς τὸ καθεύδειν ἀναλίσκομεν, εἰς ἐξομολόγησιν, καὶ δάκρυα, καὶ ἱκεσίας ἀνήλισκεν ἐκεῖνος. καὶ οὐχὶ μίαν ταύτην ἐποίησε νύκτα, πολλὰς δὲ διεπέρασε παννύχους· οὐδὲ δύο καὶ τρεῖς, τὰς δὲ μεταξὺ διέλιπεν· ἀλλὰ καθ' ἑκάστην νύκτα ταύτην ἐθεράπευε. λέγω γὰρ καθ' ἑκάστην νύκτα, φησὶ, τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω· τὴν δαψίλειαν τῶν δακρύων ἐμφαίνων, καὶ τὴν συνέχειαν. πάντων ἡσυχαζόντων, καὶ ἐν ἡρεμίᾳ ὄντων, μόνος τῷ θεῷ τότε ἐντυγχάνει, καὶ παρὰ τῷ ἀκοίμητος ὀφθαλμὸς ὀδυρομένῳ καὶ θρηνοῦντι, καὶ τὰ οἰκεῖα ἐξαγγέλοντι κακά.

Τοιαύτην καὶ σὺ κατασκεύασον κλίνην. ἡ μὲν γὰρ ἄργυρος πεπυκείμενος, καὶ φθόνον παρὰ ἀνθρώπων ἐγείρει, καὶ ὀργὴν ἐκκαίει τὴν ἄνωθεν. τὰ δὲ τοιαῦτα δάκρυα, δίκα πυρὸς τοῦ Δαβίδ, καὶ αὐτὸ τὸ τῆς γέεννης διέβη καταβρέσαν πῦρ.

Βούλει σοι καὶ ἑτέραν δείξω κλίνην, ἣν τοῦ Ἰακὼβ; ἦν λίθος εἶχεν ὑποκείμενον, καὶ λίθον ὑπὸ τὴν κεφαλὴν αὐτοῦ. διὰ τοῦτο καὶ ἡ νοητὴν εἶδεν λίθον, καὶ τὴν κλίμακα ἐκείνην δι' ἧς ἀνέβαινον καὶ κατέβαινον ἄγγελοι.

Τοιαύτας θεσπεσίμεν κλίνας καὶ ἡμεῖς, ἵνα καὶ τοιαῦτα βλέπωμεν ὀνείρατα. ἂν γὰρ ὦμεν τὰ ἀργυρᾶς ἔχωμεν κατακείμενοι, ἃ μόνον ἡδύνεται ἡδονὴν κερπωσόμενα, ἀλλὰ καὶ ἀδυμίαν ὑπομενοῦμεν. ὅταν γὰρ ἐπιούσης ὅτι ἐν κρυμῷ ἐχάμεν, ἐν νυκτὶ μέσῃ, σκοτεινοῦ ὄντος ὅτι κλίνης, ὁ φίλος ὅτι σιδηρᾶς ἴρρεπας ἐν τοῖς τοῦ βαλανείου προπυλαίοις, καλοῦμεν

μέλιτι πεφυρμένος, βάμμων, πηγνύμενος τῷ χρυσῷ, αἰχμάλωτος τῷ λιμῷ· καὶ ἀπάντων λίθινος ἦς, εὖ οἶδα ὅτι κατανοήσας αὐτοῦ. σὺ μὲν ὑπὲρ τὸν χρυσὸν βυσσῶν, ἐκεῖνον δὲ μηδὲ τῆς κλίνης τοῦ χρυσοῦ ὑπολαβὴν ἀφεὶς.

Οὐδεὶς στρατευόμενος, φησὶν, ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις. στρατιώτης εἶ πνευματικός. στρατιώτης δὲ τοιοῦτος οὐ καθεύδει ἐπὶ κλίνης ἐλεφαντίνης, ἀλλ' ὅπλα ἐδάφους. οὐ χρίεται μύροις. τῆς γὰρ ἡταιρικότων καὶ διεφθαρμένων ἡ τοιαύτη ἀπουσία, τῆς ἐπὶ τῆς σκηνῆς, τῆς ἐν ἀμελείᾳ ζώντων, σὺ δὲ οὐχὶ μύρου, ἀλλ' ἀρετῆς ὀσπρατεῖν σοι δεῖ.

Οὐδὲν ψυχῆς ἀκαθαρτότερον, ὅταν τὸ σῶμα τοιούτων ἔχῃ τὸν ἐνυδρίαν. τῆς γὰρ δυσωδίας τῆς ἔνδον, καὶ τῆς ἀκαθαρσίας δεῖγμα, ἡ τοῦ σώματος καὶ τῶν ἱματίων ἐνυδρία γένοιτ' ἄν. ὅταν γὰρ ἐπέλθῃ ὁ διάβολος διαθρύψῃ τὸν ψυχὴν, καὶ βλακείας ἐμπλήσῃ πολλῆς· τότε καὶ εἰς τὸ σῶμα τῆς οἰκείας διαφθορᾶς τὸν κηλίδα ἐναπομάσσεται διὰ τῶν μύρων.

Καὶ καθάπερ οἱ κορύζῃ τινὶ, καὶ καταῤῥεῖ διλυσχῶς ἀλισκόμενοι, καὶ τὰ ἱμάτια, καὶ τὰς χεῖρας, καὶ τὸν ὄψιν μολύνουσι, τὸ διὰ τῶν ῥινῶν ῥέον συνεχῶς ἐναπομασσόμενοι· οὕτω δὴ καὶ ἡ ψυχὴ, τοῦ πονηροῦ τούτου ῥεύματος τὸν κακίαν, εἰς τὸ σῶμα ἐναπομάσσεται.

Τίς γὰρ γυναῖός τι καὶ χρηστὸν ὑπολήψεται, ὅταν μύρου ὄζοντος, καὶ γυναικιζομένου, μᾶλλον δὲ ἑταιριζομένου, καὶ ἱμάτιον ἀνειμένου βίου;

Πείθου σὺ πνευματικῆς ἐνυδρίας ἡ ψυχὴ, ἵνα καὶ σεμνὸν καὶ τοὺς συζῶντάς σοι ὠφελῇς τὰ μέγιστα. οὐδὲν γὰρ, οὐδὲν ῥυπῆς χαλεπώτερον.

Ἄκουσον τι πρὸς αὐτοὺς φησὶ πάλιν ὁ μωϋσῆς· ἐλιπάνθη, ἐπαχύνθη, καὶ ἐπλατύνθη, καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος· καὶ οὐκ εἶπεν ὅτι ἀπέστη, ἀλλ' ἀπελάκτισεν ὁ ἠγαπημένος. τὸ γαῦρον καὶ ὑπήνιον αὐτοῦ παρεμφαίνων ἡμῖν. καὶ πάλιν ἀλλαχοῦ φησιν· μὴ ποτε προσέχε σεαυτῷ, μήποτε ὀπλάθη καρδία σου τοῦ θεοῦ σου. οὕτως ἡ τρυφὴ πρὸς λήθην ἐξάγειν εἴωθε. καὶ σὺ τοίνυν, ἀγαπητὲ, ἐὰν καθίσῃς ἐπὶ τὴν τραπέζης ἀναμνήσθητι, ὅτι μετὰ τῶν τραπέζῃ εὐχαριστεῖν σε δεῖ, καὶ οὕτω συμμέτρως ἔμπλησον τὴν γαστέρα, ἵνα μὴ βαρυνόμενος ἀδυνατήσῃς γόνυ κλῖναι, καὶ τὸν θεὸν παρακαλέσαι.

Οὐχ ὁρᾶτε τὰ ὑποζύγια, ὅτι μετὰ τῶν φάτνων ὁδοιπορίας ἄπεισι, καὶ ἀχθοφορεῖ, καὶ τῶν εἰκείαν διακονίαν ἀποπληροῖ; σὺ δὲ μὴ τῶν τραπέζῃ ἄχρηστος πρὸς πᾶν ἔργον καὶ ἀνεπιτήδειος γίνῃ. καὶ πῶς οὐκ ἔσῃ τοῦ ὄνου αὐτοῦ ἀτιμώτερος; τίνος ἕνεκεν; ὅτι τότε μάλιστα νήφειν χρὴ καὶ ἐγρηγορέναι μὴ τὰ ἐσίασιν τῆς τραπέζης. ὁ γὰρ μὴ τῶν τραπέζαν καιρὸς, εὐχαριστίας ἐστὶ καιρός. τὸν δὲ εὐχαριστοῦντα, οὐχὶ μεθύειν, ἀλλὰ νήφειν δεῖ καὶ ἐγρηγορέναι.

Ἀπὸ τραπέζης μὴ ὅπι κλίνῃ, ἀλλ' ἐπ' εὐχῇ τρεπώμεθα· ἵνα μὴ τῶν ἀλόγων ἀλογώτεροι γινώμεθα. οἶδα ὅτι πολλοὶ καταγνώσονται τῶν λεγομένων, ὡς καινῆ τινα καὶ παράδοξον σωφροσύνην εἰσαγόντων τῷ βίῳ· ἀλλ' ἐγὼ μείζονος τὴν ποινὰς καταγνώσομαι σωφροσύνης τῆς νῦν κατεχούσης ἡμᾶς.

Οὐ γὰρ μὴ τρυφῶ καὶ τράπεζαν, οὐχ ὕπνον, οὐδὲ εὐνὴν, ἀλλ' εὐχὰς καὶ θείων γραφῶν ἀνάγνωσιν διαλείχειν, τοῦτο σαφέστερον ἐδήλωσεν ὁ χριστός. τὰ γοῦν ἄπειρα

πολλάκις

πλήθη τότε ἱσιάσας ὅπῃ τ' ἐρήμε, ἀκ ὅπῃ κλίτιῶ κ) ὕπνον αὐτοὺς ἔπεμψεν, ἀλλ' ὅπῃ θείων ἀκρόασιν ἐκάλεσε λογίων. ἀ γὸ διέῤῥηξεν αὐτῶν τὰς γαστέρας, ἐδ' εἰς μέθλω ἐξέβαλεν, ἀλλὰ πληρώσας αὐτῶν τλιῶ χρείᾳ, ωρὸς τλιῶ πνευμαπικλιῶ ἦγε τροφήν.

Οὕτω κ) ἡμεῖς ποιῶμῳ. κ) τοσοῦτον ἐθίσωμῳ ἑαυτοὺς ἐωδίῃν, ὅσον ωρὸς τὸ ζῆν μόνον, ἀχ ὅσον διαπάδαν κ) βαρύνεδαι. ἀ γὸ διὰ τῦτο ἐγενόμεδα κ) ζῶμῳ, ἵνα φάγωμῳ κ) πίωμῳ, ἀλλὰ διὰ τῦτο ἐσθίομῳ, ἵνα ζῶμῳ. ἀ γὸ τὸ ζῆν διὰ τὸ φαγεῖν, ἀλλὰ διὰ τὸ ζῆν τὸ φαγεῖν γέγονεν ἐξ ἀρχῆς. ἡμεῖς ἦ ὡς διὰ τῦτο ἐλθόντες εἰς τὸν κόσμον, ὅυτως ἅπαντα εἰς τῦτο καταναλίσκομῳ.

Ἀλλ' ἵνα σφοδρότέρα γένηται τῆς τρυφῆς ἡ κατηγορία, κ) μάλα καδίκηται τῆ ἐν αὐτῇ ζώντων φίρε, πάλιν ὅπῃ τὸν Λάζαρον τὸν λόγον ἀνάγωμῳ. ὅυτω γὸ λιμῖν ἀληδεςέρα ἡ παραίνεσις ἔςαι καὶ ἡ συμβουλὴ, ὅταν μὴ διὰ ῥημάτων, ἀλλὰ διὰ ωραγμάτων ἴδῃτε ωαιδλευομῳύους καὶ κολαζομῳύους τοὺς ἀδηφαγίᾳ ωροσέχοντας.

Ὁ μῳ ὖν πλέονος τοσαύτῃ ωονηρίᾳ συνέζη, κ) καθ' ἑκάςλω ἐτρύφα τλιῶ ἡμέραν, καὶ ἐνεδιδύσκετο λαμωρῶς, χαλιπωτέραν ἑαυτῷ ἀνάπλων τλιῶ κόλασιν, κ) μεῖζον τὸ πῦρ ἐργαζόμενος, κ) ἀπαραμύδητον ἑαυτῷ ποιῶν τλιῶ δίκλιν, ἀσύγκριτον τλιῶ τιμωρίαν.

Ὁ ἦ πένης ἔῤῥιπτο παρὰ τ πυλῶνα αὐτῦ, κ) ὅυτ' ἀπεδυσπέτησεν, ὅυτ' ἐβλασφήμησεν, ὅυτ' ἠγανάκτησεν. ἀκ εἶπε ωρὸς ἑαυτὸν ὃ πολλοὶ λέγεσι. τίποτε τῦτό ἐςιν; ὖλος μῳ ωονηρίᾳ συζῶν, κ) ἀμότητι, κ) ἀπανθρωπίᾳ· κ) τῆδ ἐωὶρ τλιῶ χρείαν ὑπολαύει πάντων, κ) ὠδ' ἀδυμείδη

ὑπομβλῆ, οὐδὲ ἀλλό τι τῶν ἀνδρικῶν, διὰ πολλὰ τὰ παρὰ ἀνθρώποις ἐστὶν· ἀλλὰ καὶ καθαρὸν κεφαλὴν τηρῶν ἀδόλου. ἐγὼ δὲ οὐδὲ τῆς ἀναγκαίας ἔχω τροφῆς μεταχεῖν· ἀλλὰ τούτῳ μὲν εἰς παρασίτους, καὶ κόλακας, καὶ μίθλωνα τὰ ὄντα ἅπαντα δαπανῶν τις, ὥσπερ ἐκ πηγῶν ἅπαντα ὀμπρεῖ, ἐγὼ δὲ παράδειγμα τοῖς ὀρθῶσι κεῖμαι, καὶ αἰσχύνη καὶ γέλωτος, λιμῷ τηκόμενος.

Ἄρα ταῦτα θεωρίας; ἆρα ἐφορᾷ δίκη τὰ ἀνθρώπινα πράγματα; οὐδὲν τοῦτον οὐκ εἶπεν, οὐκ ἐνεύησε. πόθεν τοῦτο δῆλον; ἐξ ὧν ἀπήγαγον αὐτὸν οἱ ἄγγελοι πορυφορούμενον, καὶ εἰς τὸν κόλπον τοῦ Ἀβραὰμ ἀποκατέστησαν. οὐκ ἂν δὲ, εἰ βλάσφημος ἦν, τοσαύτης ἀπέλαβε τιμῆς.

ιβ΄ Οὕτω μὲν οὖν οἱ πολλοὶ διὰ τοῦτο θαυμάζουσι τὸν ἄνθρωπον μόνον, ὅτι ἐν πενίᾳ ἦν. ἐγὼ δὲ δείκνυμι πλουσίας ἐνίοις τὸν ἀριθμὸν αὐτὸν ὑπομείναντας· οὐχ ἵνα κολάζωνται, ἀλλ' ἵνα λαμπρότεροι γένωνται, ὅπερ ἐκεῖνος καὶ ἐγένετο.

Δεινὸν μὲν γὰρ ὄντως καὶ ἡ πενία, καὶ ἴσασιν ὅσοι φεύγειν ταύτης εἰλήφασι. λύπης γὰρ οὐδεὶς παρασκεύασεν ἀνιήσεται τῷ ὀδύνῃ, ὅσην ὑπομένουσιν οἱ στοχείᾳ συζῶντες, καὶ φιλοσοφεῖν οὐκ εἰδότες.

Εἰπὲ δὲ τοῦ Λαζάρου, οὐ τοῦτο μόνον ἦν τὸ δεινὸν, ἀλλὰ καὶ ἀρρωστία αὐτῷ συνέζευκτο· καὶ αὕτη μετ' ὑπερβολῆς. καὶ ὅρα πῶς ἐκατέρας τὰς συμφορὰς δείκνυσιν εἰς ἄκρον ἐλθούσας. ὅτι μὲν γὰρ πᾶσαν πενίαν ἡ τοῦ Λαζάρου πενία τότε ἐνίκησεν, ἴσθι σοι πάντων· ὅτι οὐδὲ τῆς ψιχίων ἀπέλαυε τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τοῦ πλουσίου.

Οὗτοι

Ὅτι δὲ καὶ ἡ ἀῤῥωστία φέρει τὸ αὐτὸ μέτρον ἐφδαίμονι τῇ πενίᾳ, μεθ' ὁ λοιπὸν ἐκ ἦν ἐκταθῆναι· καὶ τοῦτο αὐτὸ πάλιν ἰσήλωσεν, εἰπών· ὅτι οἱ κύνες ἀπέλειχον αὐτοῦ τὰ ἕλκη. οὕτως ἦν ἐξηθενηκὼς, ὡς μηδὲ τοὺς κύνας ἀποσοβῆσαι δυνάσθαι, ἀλλὰ πικρὸς ἔμφυχος ἔκειτο, ὑπόντας μὴ αὐτοὺς θεραπεύειν, ἀμύνασθαι δὲ οὐκ ἰσχύων. οὕτως αὐτῷ τὰ μέλη παρεῖτο, οὕτω τετραύχυτο τῇ ἀῤῥωστίᾳ, οὕτω διεδεδάπητο τῷ περιεχομῷ.

Εἶδες μετ' ἀκριβείας ὑπερβολῆς καὶ τὸν λιμὸν, καὶ τὴν ἀῤῥωστίαν πολιορκοῦσαν αὐτοῦ τὸ σῶμα; εἰ δὲ καὶ ἑαυτὸν, τούτων ἁπάντων ἀρόητον καὶ δεινὸν, ὅταν ὁμοῦ συμπεπλεγμένα ᾖ, πῶς οὐκ ἀδάμας τις ἦν ὁ ταῦτα ὑπομένων, πολλοὶ πολλάκις ἀῤῥωστοῦσιν, ἀλλὰ τ' ἀναγκαίας οὐκ ἀπορροῦσι βοφῆς. ἄλλοι πενίᾳ μὴ ζυζῶσιν ἰσχάτῃ, ἀλλ' ὑγείας ἀπολαύουσι· κ) θάτερον θατέρου παραμυθία γίνεται. εἰ ταῦθα ἦ ἀμφότερα ταῦτα συνδεδεγμένα.

Ἀλλ' ἔχεις μοί τινα εἰπεῖν καὶ ἐν ἀῤῥωστίᾳ ὄντα κ) ἐν πενίᾳ; ἀλλ' οὐκ ἐν ἐρημίᾳ τοσαύτῃ. εἰ γὰρ κ) μὴ παρ' ἑαυτοῦ, μὴ ἦ οἰκοθεν, ἀλλ' ὑπὸ τῆς ὀρόντων ἐλεεῖσθαι δυνάμενος ἂν εἰς τὸ μέσον προκείμενος· τούτῳ ἦ τὰ προβλήματα δεινὰ χαλεπώτερα ἐπίδειν γίνεσθαι τῆς προσιουμένων ἐρημίας.

Καὶ αὐτὴν ταύτην πάλιν χαλεπωτέραν ἐπιδεῖξαι φαίνεται, τὸ ἐν πυλῶνι κεῖσθαι τοῦ πλουσίου. εἰ μὲν γὰρ ὅπη τ' ἐρήμης καὶ τῆς οἰκήτου κείμενος, ταῦτ' ἔπασχε κ) παρεῖχετο, οὐκ ἂν οὕτως ἤλγησε. τὸ γὰρ μηδένα παρεῖναι, κ) ἅπαντα φέρειν ἐπεισθέντα τὰ συμβαίνοντα· τὸ δὲ ἐν μέσῳ τοσούτων κείμενον μυριάδων, ἐνημερούντων, παρὰ μηδενὸς

μηδὲ

μησὶ τῆς τυχούσης ἐπιμελείας τυγχάνῃ, δ μιντέρων ἐποίῃ τῆ ὀδύνων γίνεσθαι τιὼ αἰσθησιν, κὴ τιὼ ἀθυμίαν ἐξέκαιε μᾶλλον. ὁ γὰ ὄντως ἀπόντων τῆ βαυθούντων, ὡς παρόντων μβ, ἂν ἐθελόντων ἢ ὀρέξαι χεῖρα, ἀλάκνεται πεφύκαμβ ἐν ταῖς συμφοραῖς. ὅπερ οὖν κακεῖνός τοτε ἔπαθεν. ὀυδεὶς γὰ ἦν, ὃς ὁ λόγῳ παρακαλῶν, ὀυχ ὁ ἔργῳ παραμυθούμβος, ὀυ φίλος, ὀυ γείτων, ὀυ συγγενὴς, ὀυ τῆ ὁρώντων ὀυδεὶς, πάσης τῆς τοῦ πλουσίου διεφθαρμβίνης οἰκίας.

Ἔτι πρὸς τύτοις ἑτέραν αὐτῷ προσθήκην ὀδυνῶν ἐποίει, τὸ κὴ ἕτερον ἐπαναγνύντα ὁρᾶν. ὃν ἐπῆδὴ βάσκανος ἦν κὴ πονηρὸς, ἀλλ' ἐπῆδὴ πεφύκαμβ ἅπαντες ἐν ταῖς ἑτέρων ἀνημερίαις, ἀκριβέστερον τὰς οἰκείας καταμαγδάνειν συμφοράς.

Ἐπὶ ᾗ τῦ πλησίου, καὶ μεῖζον πρόσην ἕτερον δλιβόμενον ἀὐλὸν δλακεῖν. ὀυ γὰ δὴ μόνον ταῖς ἀνημερίαις ταῖς ἐκείνε συγκρίνων τιὼ ἑαυτῦ δυσπραγίδν, μείζονα τιὼ αἴσθησιν ἐλάμβανε τῆ οἰκείων κακῶν, ἀλλὰ κὴ λογιζόμενος, ὅτι ὁ μβ μετ' ἀμότητος καὶ ἀπανθρωπίας ζῶν ἐν ἅπασιν ἀνοσίοις· ὁυτος ᾗ μᾶ ἀρίλης κὴ ὀπίκειας τὰ ἔσχατα πάσχ δεινά. κὴ ἔνθεν ἀπαραμύθητον τιὼ ἀθυμίδν πάλιν ἐτίθεμεν.

Εἰ γὰ δίκαιος ἦν, εἰ γὰ ὀπίκης, εἰ γὰ θαυμαστὸς ὁ ἀνὴρ, εἰ γὰ πάσης γέμων ἀρείης, ὃν ἂν αὐλὸν ἐλύπησε. νυνὶ δὲ κὴ πονηρίᾳ συζῶν, κὴ πρὸς ἕκατον κακίας ἑλκόμενος, κὴ τοσαύτιν ἀπανθρωπίδν ὀπιδίκνύμενος, κὴ τὰ τῆ ἐχθρῶν αὐτῶν διατιθεὶς, ἅπερ λίθον αὐτὸν παρατείνων ἀναισχύντως κὴ ἀνιλέως, καὶ μετὰ ταῦτα πάντα τοσαύτης ὀπολαύων ἐυπορίας· ἐπίσησον πῶς εἰκὸς ἦν, ὥσπερ ἐν

ἐᾶν ἀλλήλοις κύμασι βασανίζειν αὐτὸν τοῦ πένητος τὴν ψυχήν.

Ἐνόησον τὸν Λάζαρον ὃς εἰκὸς ἦν ἦν, ὁρῶντα παρασίτους, κίλακας, οἰκέτας ἀναβαίνοντας, καταβαίνοντας, ἐξιόντας, εἰσιόντας, τρέχοντας, θορυβοῦντας, μεθύοντας, πηλοῦντας, καὶ πάσην ἀσέλγειαν ὑπὸ δειχνυμένους.

Ὥσπερ γὰρ δι' αὐτὸ τοῦτο ἐλήθων, ἵνα μάρτυς ᾖ τῆς ἀλλοτρίων ἀγαθῶν ὕβρεως εἰς τὸν πυλῶνα ἔρριπτο· τοσοῦτον ζῶν ὅσον ἀναθαίνεσθαι τὴν οἰκείων εἶχε κακῶν μέγεθος· ἐν λιμῷ ναυάγιον ὑπομένων, πλησίον πηγῆς δίψῃ χαλεπωτάτῃ τὴν ψυχὴν ἀπέχόμενος.

Εἶπω τι καὶ ἕτερον πρὸς τούτοις κακόν. ἐὰν εἶχεν εἰς ἕτερον Λάζαρον ἰδεῖν. ἡμεῖς μὲν γὰν μυρία πάσχομεν κακά, ἀλλ' ἔχομεν εἰς ἑκεῖνον ἰδόντες, ἱκανὴν δέχεσθαι παραίνεσιν, καὶ πολλῆς ἀπολαῦσαι τῆς παραμυθίας. τὸ γὰρ κοινωνοὺς εὑρίσκειν τῶν οἰκείων κακῶν, ἢ ἐν πράγμασιν, ἢ ἐν διηγήμασι, πολλὴν φέρει τοῖς ὀδυνωμένοις παραίνεσιν.

Ἐκεῖνος δὲ οὐδένα ἕτερον ἰδεῖν εἶχεν ἢ τὰ αὐτὰ αὐτῷ πεπονθότα. μᾶλλον δὲ οὐδὲ ἀκοῦσαί τινος ὅτι τῶν παρόντων τὸν ἑαυτοῦ, τοσαῦτα ὑπομείναντος. ἱκανὸν δὲ τοῦτο σκεπάσαι ψυχήν.

Ἔστι καὶ ἕτερον πρὸς τούτοις εἰπεῖν, ὅτι οὐδέπω τότε ἀναστάσεως φιλοσοφεῖν ἠδύναντο, ἀλλὰ μέχρι τῶν παρόντων βίου τὰ παρόντα ἐνόμιζε συγκεκλεῖσθαι πράγματα. τὸν γὰρ πρὸ τοῦ χάους ἦν.

Εἰ δὲ ἦν ἐφ' ἡμῶν, καὶ τοσαύτην θεογνωσίαν, καὶ τὸ λαμπρὸν τῆς ἀναστάσεως ἐλπίδας, καὶ τὰς εἰμαρμένας τοῖς ἁμαρτάνουσι

τείνουσι ζημιρίας ἐπεῖ, κὴ τὰ ἑτοίμασιμφέρα τοῖς κατορθῦσιν
ἀγαθὰ, ἔυτω μικροψύχως τινὲς κὴ ταλαιπώρως διάκεινται,
ὡς μηδὲ ἑαύταις διορθῦσθαι ἢ σωφρονίσαις· τί πάσχει εἰκὸς
ἦν ἐκεῖνον, κὴ ταύτης ἀπιςερημένον τ' ἀγκύρας; ἐκεῖνος γὰρ
οὐδὲν ἀυσλίπως τοιῦτον φιλοσοφεῖν ἠδυνάτο, διὰ τὸ μηδέ-
πω τὸν καιρὸν τούτων ἀφῖχθαι τῆς διδασκαλίας.

Ἦν τι κὴ πρὸς τούτοις ἄλλο, τὸ κὴ τὴν δόξαν αὐτῆ διαβεβλῆσθαι παρὰ τοῖς ἀνόητοις τῆς ἀνθρώπων. κὴ γὰρ εἰώθασιν οἱ πολλοὶ, ἐπὰν ἄν ἴδωσί τινας ἐν λιμῷ, κὴ νόσῳ διάκειμένους, κὴ τοῖς ἰσχάτοις ὕλαις κακοῖς, μηδὲν χρηςὸν περὶ αὐτῶν δόξαν ἔχειν· ἀλλ' ἀπὸ τ' συμφορᾶς τὸν κατ' ἀ βίον κρίνειν, κὴ διὰ πονηρίαν νομίζειν πάντως αὐτοὺς οὕτω ταλαιπωρεῖσθαι. κὴ πολλὰ ἄλλα τοιαῦτα πρὸς ἀλλήλους λέγουσιν (ἀνοήτως μὲν, λέγουσι δὲ ὅμως) ὅτι ἔτος, εἰ τῷ θεῷ φίλος ἦν, οὐκ ἂν αὐτὸν εἴασεν ἐν πενίᾳ κὴ τοῖς ἄλλοις κακοῖς ταλαιπωρεῖσθαι.

Οὕτω γοῦν κὴ ὅπὶ τῦ Ἰωὼ, κὴ ὅπὶ τῦ Παύλυ σωίζει. κὴ
" γὰρ ἐκείνῳ ἔλεγον· μὴ πολλάκις σοι λελάληται ἐν κόπῳ; ἰσχὺν
" ἢ ῥημάτων σε τίς ὑπανίσῃ; εἰ γὰρ σὺ ἐνεθάρρησας πολλοὺς, κὴ
" χεῖρας ἀδυνεῖς παρειμένας, ἀδυνάτους ἢ ἐξανίςησας ῥή-
" μασι, γόνασι ἢ ἀσθενοῦσι πεποίθησας θάρσος, νυνὶ ἢ ἦκεν ὅπὶ
" σε πόνος, σὺ ἢ ἐκπεπόνθακας. πότερον ἰσχὺς ὁ φόβος σε ἐστὶν ἐν ἀ-
" φροσύνῃ; εἶτί σοί, φησὶν, ἀγαθὸν ἦν πεπορισμένον, ἰσχὺν ἂν ταῦ-
τα ἔπαθες ἀπῶ ἔπαθες. ἀλλ' ἁμαρτημάτων τίνης δίκας, κὴ
παρανομίας. κὴ τοῦτο ἦν ὁ μάλιστα ἔδακνε τὸν μακάριον Ἰωβ.

Καὶ περὶ τῦ Παύλυ ἢ οἱ βάρβαροι τοῦτο ἔλεγον. ἐπειδὴ
γὰρ εἶδον τὸ ἔχον ἐκκρεμάμενον αὐτῆ τ' χειρὸς, οὐδὲν χρηςὸν
περὶ αὐτῆ ὑπενόησαν, ἀλλὰ τῆς τὰ ἔσχατα τετολμηκότα αὐ-
" τὸν εἶ) ἐνόμιζον. κὴ σῆλον ἐξ ὧν ἔλεγον· τοῦτον γὰρ, φασὶν, εἰ
" τ' θαλάσσης σωθέντα ἡ δίκη ζῆν οὐκ εἴασεν. οὐχ ὡς ἔτυ-

χεν

χειν ἢ κ' τοῦτο ἡμᾶς εἰωθὸς δορυβεῖν.

Ἀλλ' ὅμως τοσούτων ὄντων τῶν χυμβάντων, κ' ἀλλ' ἐπαλλήλων φερομένων, ὑ κρίνεται τὸ σκάφος· ἀλλ' ὡς ἐν χειμῶνι κεκμηκὼς, κ' θάτερα πλέοντι διλωτικοῦς ὀπολαύων, οὕτως ἐφιλοσόφ. ὑ γὰρ εἶπε πρὸς ἑαυτὸν ὑσλὸν τοιοῦτον, ὃς πολλοὺς λήξει εἰκός· ὅτι ἐκεῖ ὁ πλούσιος, ἂν μὲν ἀπελθὼν ἀπεῖ κολασθῇ κ' τῷ τιμωρίᾳ. ἦν, ἐν γέγονεν. ἂν δ' κἀκεῖ τῶν αὐτῶν ὀπολαύσῃ τιμῶν, διὸ γέγονεν ὑσλόν.

Ἢ ὑ ταῦτα πρεφέρετε ἐν ταῖς ἀγοραῖς ὑμεῖς οἱ πολλοὶ, τὰ ὀπὸ τ' ἱστοσλεγμίας κ' τῶν ἔξωθεν θεάτρων, εἰς τ' ἐκκλησίαν εἰσάγοντες;

Λοιχνόμαι μὲν οὖν εἰς μέσον ταῦτα φερομθεὶς τὰ ῥήματα, κ' ἐρυθριῶ· πλὴν ἀλλ' ἀνάγκη ταῦτα εἰπεῖν, ἵνα ὑμεῖς ἀπαλλαγῆτε τῆς ἀτόπου γέλωτος, κ' τ' αἰσχύνης, κ' τ' βλάβης τ' ὀπὸ τῶν ῥημάτων τούτων.

Ταῦτα πολλοὶ πολλάκις γελῶντες λέγουσιν. ἀλλὰ κ' τοῦτο διαβολικῆς κακουργίας ἐστὶν, ἐν τοῖς ῥημάτων αἰσχίστοις διεφθαρμένα εἰσάγειν εἰς τ' βίον ἡμῶν λόγματα. ταῦτα γὰρ συνηχῶς, κ' ἐν ἐργαστηρίοις, κ' ὅπῃ τ' ἀγορᾶς, κ' ἐν ταῖς οἰκείαις φθόγγοι πρεφέρουσιν· ὅθεν ἑκάστης ἀπιστίας ἐστὶ, κ' παρανοίας, κ' γέλωτος ὄντως, κ' παιδικῆς διανοίας.

Τὸ μὲν γὰρ, λέγειν ὅτι ἐὰν ἀπελθόντες οἱ πονηροὶ κολασθῶσι, κ' μὴ σφόδρα πεπτωκέναι ἑαυτοὺς ὅτι κολασθήσονται· πάντως ἀπιστοῦντων ἐστὶ κ' διαμφισβητούντων. τὸ δὲ, εἰ κ' τοῦτο συμβαίη, (ὅθεν οὖν κ' συμβήσεται,) νομίζειν τ' ἴσης αὐτοὺς τοῖς δικαίοις ἀπολαυσομένους ὀπολαύειν, τοῦτο ἑκάστης ἀνοίας.

Τί λέγεις, εἰπέ μοι; ἐὰν ἀπελθὼν ὁ πλούσιος, ἐκεῖ κολάζηται, ἐν ἓν γέγονε; κ' πῶς ἂν ἔχοι λόγον; ὡόσα γὰρ αὐτὸν ἐνταῦθα ζῶντα θεῖναι ὀπολαλαυκέναι τῶν χρημάτων ὄντως

βού-

βέλει ἀῶμεν ἐκαλῶν; ἐγὼ γὰρ κὴ διακόσια τίθημι, κὴ τριακόσια, κὴ δὶς τοσαῦτα· κὴ εἰ βέλει καὶ χίλια, (ὕπαρ αὐθύ-
ε, ρατον, αἱ ἡμέραι γὰρ φησὶ τῶν ἐτῶν ἡμῶν ὀγδοήκοντα ἔτη·) πλεῖω, ἀλλὰ κὴ κείσθω χίλια. μὴ ζωὴν ἔχεις εἰπέ μοι ἐνταῦθα δεῖξαι τέλος ἐκ ἔχουσαν, οὐδὲ πέρας ὀπισταμένην, διά πέρ ἐστιν ἡ τῶν δικαίων ἐκεῖ;

Εἴ τις ὦν, εἰπέ μοι, ἐν ἔτεσιν ἐκαλῶν, μίαν νύκτα ὄναρ ἀδὼν χρηστὸν, κὴ πολλῆς καθ' ὕπνους ἀπολαύσας τρυφῆς, τὸ ἐκαλὸν ἔτη κολάζοιτο· ἆρα σιωπήσῃ λέγων ὅτι τότε, ἐν κὴ ἦν; κὴ τὶ μίαν νύκτα τῶν ὀνείρατων ἐκείνων, τοῖς ἐκαλῶν ἔτεσιν ἀντίρροπον ποιεῖσθαι; ἐκ ἔστιν εἰπεῖν. τῦτο δὴ κὴ ἐκεῖ τῶν μελλόντων ζωῆς λογίζε. ὄναρ γὰρ ἐστιν ὄναρ ἐν, πρὸς ἑκατὸν ἔτη· τῦτό ἐστιν ὁ παρὼν βίος πρὸς τὸν μέλλοντα ζωήν. μᾶλλον δὲ, καὶ πολλῷ πλέον. ὅσον ἐστὶ σταγὼν μικρὰ πρὸς πέλαγος ἄπειρον, τοσῦτόν ἐστι χίλια ἔτη, πρὸς τὴν μέλλουσαν δόξαν ἐκείνην κὴ ἀπόλαυσιν.

Καὶ τί γὰρ ἂν ἔχοι τις πλέον εἰπεῖν, ἢ ὅτι πέρας ὐκ ἔχει κὴ τέλος ἐκ οἶδε; κὴ ὅσον ἐστὶ τὸ μέσον ὀνείρων κὴ τῆς πρὸς ἀλήθειαν· τοσῦτόν ἐστι τῆς καταστάσεως ταύτης, κὴ τῆς ἐκεῖ τὸ διάφορον. ἄλλως δὲ, κὴ πρὸ τῆς ἐκεῖ κολάσεως, ἐντεῦθεν οἱ πορνεύομενοι κὴ ἐν ἁμαρτίαις ζῶντες κολάζονται.

Μὴ γὰρ μοι τὴν τραπέζης ἀπολαύσεις πολυτελῶς ἁπλῶς εἴπῃς, κὴ τὴν ἱμάτια περιβεβλημένον σηρικὰ, κὴ αἰδρα πόδων ἀγέλας περιφέρονται, κὴ σοβοῦντα ἐπὶ τῆς ἀγορᾶς· ἀλλ' ἀνάπλυξόν μοι τούτου τὸ σωρευθὸς, κὴ ὄψει πολὺν ἐνδοθεν θόρυβον· τῶν ἁμαρτημάτων φόβον δηνεκῆ, χειμῶνα, ταραχὴν, καθάπερ ἐν δικαστηρίῳ τὸν νοῦν ὅταν τὸν θρόνον ἀναβάντα τοῦ σωρευθέντος, κὴ ὥσπερ τινα δικαστὴν καθήμενον, κὴ τοὺς λογισμοὺς παριστῶντα καθάπερ δημίους, κὴ ἀναρτῶντα τῶν

διάνοιαν

θανάτοιαν, καὶ καταξαίνοντα ὑπὲρ τῆς ἁμαρτημάτων, καὶ ἁμαρτάνοντα μεγάλα μηδενὸς εἰδότος, ἀλλ' ἢ τὰ ταῦτα ὀπτεσαμένου βλέπειν θεὸν μόνου.

Καὶ γὰρ ὁ μοιχεύων, κἂν μυριάκις ᾖ πλέσιος, κἂν μηδένα καταγορεύοντα ἔχῃ, οὐ παύεται ἑαυτὸν κατηγορῶν ἔνδον. καὶ ὁ μὲν ἔνδοθεν φόβος καὶ ὀδύνη διωκτικὴ. φόβος παντα χόθεν, καὶ δίμος, ὑποψία, καὶ ἀμηνία· τὸν συνεπτὸν ἑαυτὸν δοκεῖ, τὰς σκιὰς αὐτὰς δέμας, τὸς οἰκέτας τοὺς ἑαυτοῦ, τοὺς συμβδότας, τὸς ἀγοραίους τας, τὸ ἀδικημάτιον αὐτὸν, τὸ ὑβρισμάτιον ἀνδρὸς. πανταχόθεν πικρὸν κατήγορον ἔχει· ἔσω τὸ συνειδὸς· αὐτοκατάκριτος ὤν, ὀδυνᾶται μικρὸν ἀναπνεύσας διωκόμενος. καὶ γὰρ ὅπου κλίνῃ, καὶ ἐν βαπτίζῃ, καὶ ἐν ἀγορᾷ, καὶ ἐν οἰκίᾳ καὶ ἐν ἡμέρᾳ, καὶ ἐν νυκτὶ, ἐν αὐτοῖς τοῖς ὀνείρασι πολλάκις τὰ τῆς ἁμαρτίας εἴδωλα βλέπει, καὶ τὸ τῶν Καΐν ζῆν βίον στένων καὶ τρέμων ὅπου τῆς γῆς, καὶ μηδενὸς εἰδότος, ἔνδον ἔχει τὸ πῦρ συνειλεισμένον αἰεί.

Τοῦτο καὶ οἱ ἁρπάζοντες, καὶ οἱ πλεονεκτοῦντες πάσχουσι· τοῦτο καὶ οἱ μεθύοντες, καὶ ἕκαστος ἁπλῶς τῆς ἐν ἁμαρτίαις ζοίτας. ἀμήχανον γὰρ ἐκεῖνο διαφθαρῆναι τὸ δικαστήριον. ἀλλὰ κἂν μὴ μετίωμεν τὰ ἀρετὰ, ὅμως ὀδυνώμεθα, ἐὰν δὲ μὴ μετερχώμεθα. κἂν μετίωμεν τὰ κακίαν, ὅμως παυσόμεθα τῆς ἀδόνος τῆς ἐπὶ τὰ ἁμαρτίαν, ἀναπαυόμενοι τῆς ὀδύνης.

Μὴ τοίνυν λέγωμεν ὅτι τῶν πλουτούντων ἐνταῦθα καὶ πορευομένων, καὶ τῶν δικαίων τῶν ἀπολαυόντων ἐκεῖ, ὅτι ἓν ἦν, ἀλλ' ὅτι δύο ἐστίν. τοῖς μὲν γὰρ δικαίοις καὶ τὰ ἐκεῖ καὶ τὰ ἐνταῦθα πολλὴν παρέχει τὴν ἡδονήν. οἱ δὲ ἐν πορνείαις, καὶ ἐν πλεονεξίαις, καὶ ἐνταῦθα καὶ ἐκεῖ κολάζονται. καὶ γὰρ καὶ ἐνταῦθα πολλάζονται τῇ φροντίδι τῆς ἐκεῖ τιμωρίας, καὶ τῇ

πονηρᾶ παρὰ πάντων ὑποψία, καὶ αὐτὴν τὴν ἁμαρτίαν καὶ τὴν ψυχὴν τὴν ἑαυτῦ διαφθείρειν, καὶ μὴ τὴν ἐντεῦθεν ἀποδημίαν ἀφορῶντες ὑπομένωσι τιμωρίας.

Πάλιν οἱ πλούσιοι κἂν μυρία πάσχωσιν ἐνταῦθα πλεονεκτοῦντες χρησταῖς συνδρέφονται ταῖς ἐλπίσιν, ἡδονὴν ἔχοντες καθαρὰν, βεβαίαν, ἀκίνητον· καὶ μὴ ταῦτα, μυρία αὐτοὺς διαδέξεται τὰ ἀγαθὰ, καθάπερ οἶμαι καὶ τὸν Λάζαρον.

Μὴ γάρ μοι τῦτο εἴπῃς ὅτι εἵλκωτο, ἀλλὰ τῦτο σκόπει, ὅτι χρυσῦν παντὸς τιμιώτερον ἔνδυμα εἶχε τὴν ψυχήν· μᾶλλον δὲ οὐ τὴν ψυχὴν μόνον, ἀλλὰ καὶ τὸ σῶμα αὐτό· ἀρετὴ γὰρ σώματος οὐ πολυσαρκία καὶ ἰσχὺς, ἀλλὰ τὸ σαύτας καὶ τοιαύτας φέρειν βασάνους. οὐ γὰρ εἴ τις ὅπλα τῦ σώματος τετρώματα ἔχει τοιαῦτα, βδελυκτὸς ὁ τοιῦτος· ἀλλ' εἴ τις ὅπλα τῆς ψυχῆς ἕλκη μυρία ἔχων, μηδεμίαν αὐτῆς ὁπομίλειαν ποιοῖτο. ὅλος ἦν ἐλεεινὸς ὁ πλούσιος, ἔνδοθεν ἕλκωμα ἅπας.

Καὶ καθάπερ οἱ κυνες τῦτον ὠφέλησαν τὰ τραύματα· οὕτως ἐκεῖνα δαίμονες τὰ ἁμαρτήματα. καὶ καθάπερ οὗτος ἐν λιμῷ τροφῆς· οὕτως ἐκεῖνος ἐν λιμῷ πάσης ἀρετῆς ἔζη.

Ταῦτ' οὖν εἰδότες ἅπαντα, φιλοσοφῶμεν, καὶ μὴ λίαν ὠμῶμεν ὅτι εἰ τὸν πλοῦτον ἐφίλει ὁ θεὸς, οὐκ ἂν αὐτὸν ἀφῆκε γυμνὸν πένητα. αὐτὸ μὲν οὖν τῦτο μάλιστον ἀγάπης τεκμήριόν ἐστιν· ὃν γὰρ ἂν ἀγαπᾷ κύριος παιδεύει· μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται. καὶ πάλιν, τέκνον ἐὰν προσέρχῃ δουλεύειν κυρίῳ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμὸν, ἴνα δυνατὸν τὴν καρδίαν σου, καὶ καρτέρησον.

Ἐκβάλωμεν οὖν ἀγαπητοὶ τὰς ὀκνηρὰς ταύτας προσλήψεις ἀφ' ἑαυτῶν, καὶ τὰ δημώδη ταῦτα ῥήματα. αἰσχρόν ἐστι γὰρ, φησὶ, καὶ μωρολογία, καὶ ἐντρυφηλία, μὴ ἐκ-

πορνεύσαι

παρρησίαν ἐκ τοῦ στόματος ὑμῶν. μήτε ἓν αὐτοὶ πλοῦτον λέγωμεν, ἀλλὰ κἂν ἑτέρους εἴπωμεν πλουτοῦντας, ὑποπτεύσωμεν, κατεξανίστωμεν σφοδρῶς, ὑπέχωμεν τῷ ἀναίσχυντον αὐτῶν γλῶτταν.

Εἴ τινα ἴδοις εἰπεῖν μοι λῃστὴν κατατρέχοντα τὰς ὁδοὺς, τοῖς παριοῦσιν ἐφεδρεύοντα, τὰ ἐκ τῆς ἀγορᾶς ἁρπάζοντα, εἰς ἀσήλεια καὶ καταδύσεις χρυσίον καὶ ἀργύριον κατορύττοντα, καὶ ἀγέλας ἀποκλείοντα πολλὰς ἰδεῖν, καὶ ἱμάτια, καὶ ἀνδράποδα πολλὰ κεκτημένον ἐκ τῆς καταδρομῆς ἐκείνης· ἆρα αὐτὸν εἴποις μοι μακαρίζειν διὰ τὸν πλοῦτον ἐκεῖνον, ἢ ταλανίζειν διὰ τὴν μέλλουσαν αὐτὸν διαδέχεσθαι δίκην; κἄπειτα οὔπω συνείληπται, οὐδὲ εἰς χεῖρας τοῦ δικαστοῦ παραδέδοται, οὐδὲ εἰς δεσμωτήριον ἐνέπεσεν, οὐδὲ κατήγορον ἔσχεν, οὐδὲ ὑπὸ φῆφον ἐγένετο· ἀλλὰ τρυφᾷ, μεθύει, ὑπαγωγίας ἀπολαύει πολλῆς. ἀλλ' ὅμως, οὐ διὰ τὰ παρόντα καὶ τὰ ὁρώμενα αὐτὸν μακαρίζομεν, ἀλλὰ διὰ τὰ μέλλοντα καὶ προσδοκώμενα ταλανίζομεν.

Τοῦτο καὶ ἐπὶ τῆς πλουτουμένων καὶ πλεονεκτουμένων λόγισαι. λῃσταὶ γάρ τινές εἰσιν ὁδοῖς ἐφεδρεύοντες, τὰ τῆς παριόντων ἁρπάζοντες, ὥσπερ ἐν ἀσηλαίοις καὶ καταδύσεσι, τοῖς ἑαυτῶν θαλάμοις κατορύττοντες τὰς ἑτέρων περιουσίας.

Μὴ τοίνυν μακαρίζωμεν αὐτοὺς διὰ τὰ παρόντα, ἀλλὰ ταλανίζωμεν διὰ τὰ μέλλοντα· διὰ τὸ φοβερὸν ἐκεῖνο δικαστήριον, διὰ τὰς ἀπαραιτήτους εὐθύνας διὰ τὸ σκοτεινὸν τὸ ἐξώτερον ὃ μέλλει αὐτοὺς ὑποδέχεσθαι. καί τοι ἐγὼ λῃστὰς πολλάκις ἀνθρώπων ἐξέφυγον χεῖρας. ἀλλ' ὅμως καὶ τοῦτο εἰδότες, καὶ ἑαυτοῖς καὶ ἀλλήλοις ἀναμιμνῄσκωμεν τὸν ἐκείνων βίον, καὶ τῷ ὑποφίλῳ

τλὼ ἱπαίρετον. ὅτι ἡ τῦ θεοῦ ἰκ ἔςι τῦτο εἰπεῖν. οὐδ εἰς γὰρ αὐτῦ διαφεύξεται τλὼ ψῆφον, ἀλλὰ πάντες πάντως ἐν πλεονεξίαις καὶ ἁρπαγαῖς ζῶντες, τλὼ παρ' αὐτὶ δίκλιν ὅτι σοφίζονται, τλὼ ἀδιάνατον ἐκείνλω κὴ τέλος ἰκ ἔχυσαν, καθαίρω οὖν κὴ ὁ πλέσιος ἐκεῖνος.

Ἄ῎ρ οὖν ἅπαντα παρ' ἑαυτοῖς συλλέγοντες, ἀγαπητοὶ, μὴ τὲς ἐν πλέτῳ, ἀλλὰ τὲς ἐν ἀρετῇ ζῶντας μακαρίζωμεν. μὴ τὲς ἐν πενία, ἀλλὰ τὲς ἐν κακία ταλανίζωμεν. μὴ τὰ παρόντα βλέπωμεν, ἀλλὰ τὰ μέλλοντα σκοπῶμεν. μὴ τλὼ ἔξωθεν τῶν ἐκβολλὼ, ἀλλὰ τὸ ἐνδοτέρω σωτικὸς ἐξετάζωμεν, κὴ τλὼ ἐν τῇ κατορθωμάτων ἀρετλὼ καὶ χαρὰν διώκοντες, ζηλώσωμεν τὸν Λάζαρον, καὶ πλέσιοι καὶ πένητες.

Οὐ γὰρ ἕνα καὶ δύο κὴ τρεῖς μόνον ἔντος, ἀλλὰ πλείςες ἄλλους ἀρετῆς ἐπαίνμεν. τλὼ πενίαν λέγω, τὴ ἀπροσίδλω, τλὼ ἐρημίαν τῇ τῶν συνομμύων, τὸ ἐν οἰκία δυναμμύη τὰ τοιαῦτα σβέσαι κακὰ ἅπαντα ὑπομεῖναι ἐκεῖνα, κὴ μηδενὸς εἰς παραμυθίας λόγον ἀξιῶσαι· τὸ τρυφῆς τοσαύτης ἀπολαύοντα ἢ ὑπερορῶντα ὁρᾶν, κὴ ἀ τρυφῆς ἀπολαύοντας μόνον, ἀλλὰ κὴ ἐν πενία ζῶντα, κὴ μηδὲν πάσχοντα δεινόν. τὸ μὴ τῶν Λάζαρον ἕτερον ἔχειν ἰδεῖν, τὸ μηδὲν τῶν ἀναστάσεως δεύτερον φιλοσοφεῖν· τὸ μὴ τῇ ἐρημμύων κακῶν κὴ πονηρὰν παρὰ τοῖς πολλοῖς ἀπὸ τῇ συμφορᾶς ἐκείνων λαμβάνειν ὑπόληψιν, τὸ μὴ μέχρι δύο κὴ τριῶν ἡμέρων, ἀλλὰ διὰ παντὸς τῦ βίου, κὴ ἑαυτὸν ἐν τύτοις, κὴ τὴ πλέσιον ἐν τοῖς ἐνδυτίοις ὁρᾶν.

Τίνα οὖν ἕξομεν ἀπολογίαν, εἰ τέτων πάντα ὁμοῦ τὰ δεινὰ μὴ τοσαύτης φέροντος ἀνδρείας, ἡμεῖς μηδὲ τὰ ἡμίση τύτων ὑποσωμεν; οὐ γὰρ ἔχεις, ἂν ἔχεις δεῖξαι, οὐδὲ εἰπεῖν

ἔνεςι

ἄλλον τινὰ τοσαῦτα καὶ τηλικαῦτα πεπονθότα κακά. διὰ γὰρ τοῦτο αὐτὸν καὶ εἰς μέσον προῆγεν ὁ χριστὸς, ἵνα ὅπου τὰρ ἂν ἐμπίσωμεν τῆς δεινῶν, ὁρῶντες παρὰ τούτῳ τὴν ὑπερβολὴν οὖσαν τῆς θλίψεως, ἱκανῶς ἐκ τῆς ἐκείνου φιλοσοφίας καὶ ὑπομονῆς ἀναλάβωμεν παράκλησιν καὶ παραμυθίαν. κοινὸς γὰρ τῆς οἰκουμένης διδάσκαλος προκειται, τοῖς ὅπου πάσχουσι δεινὸν, πρὸς αὐτὸν παρέχων πᾶσιν ὁρᾶν, καὶ πάντας αὐτὸς νικῶν τῇ τῆς οἰκείων κακῶν ὑπερβολῇ.

Τί περὶ δὴ τούτων ἅπαντων εὐχαριστήσαντες τῇ φιλανθρώπῳ θεῷ, καρπωσώμεθα τὴν ἐκ τοῦ διηγήματος ὠφέλειαν, σωφρόνως αὐτὸν καὶ ἐν σωφροσύναις, καὶ ἐν οἰκίᾳ, καὶ ἐν ἀγορᾷ, καὶ πανταχοῦ περιφέροντες, καὶ μὴ ἀκριβείας ἅπαντα τὸν ἐκ τῆς παραβολῆς ταύτης καταμανθάνοντες πλοῦτον· ἵνα καὶ τὰ παρόντα ἀλύπως παραθεώμεθα δῆτα, καὶ τῆς μελλόντων ἐπιτύχωμεν ἀγαθῶν. ὧν γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· μεθ' οὗ, τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

Ιωάννε Α᾽ρχιεπισκόπε Κωνσταντινουπόλεως τῦ Χρυσοστόμου, εἰς τὸν Λάζαρον λόγος δεύτερος. καὶ ὅτι αἱ ψυχαὶ τῶν διαθεκάτων οὐ γίνονται ἀλαίμονες, ἢ οὐδὲ πρίσεως, ἢ ἐλεημοσύνης.

***

Ἐθαύμασα τὴν ἀγάπην ὑμῶν ὅτε ἡ σπουδὴ τῦ Λαζάρου σχολὴν ἐποίησε λόγον, ὅτι καὶ τὴν ὑπομονὴν τοῦ πένητος ἀπεδείξατο, καὶ τὴν ἀμοιβὴν καὶ ἀπαντοχὴν τῦ πλουσίου τοῦτος ἀπεσείφηνε. οὐ μικρὰ ἢ ταῦτα καλοκαγαθίας σημεῖα. κἂν γὰρ μὴ μιμώμεθα ἀρετὴν, ἐπαινοῦμεν ἢ ἀρετὴν, δυνησόμεθα πάντως αὐτὴν μετελθεῖν. κἂν μὴ φεύγωμεν κακίαν, ἀλλὰ φίλωμεν κακίαν, δυνησόμεθα πάντως αὐτὴν ἐκφυγεῖν.

Ἐπεὶ οὖν μὴ πολλῆς εὐνοίας ἐμείνους ὑπεδείξατο τοὺς λόγους, φέρε, καὶ τὰ λοιπόμενα ὑμῖν διεξέλθωμεν.

Εἴδετε αὐλὸν ἐν τῷ πυλῶνι τῦ πλουσίου τότε, βλέπετε αὐτὸν σήμερον ἐν τοῖς κόλποις τῦ Ἀβραάμ· εἴδετε αὐτὸν ὑπὸ κυνῶν θεραπευόμενον, βλέπετε αὐτὸν ὑπὸ ἀγγέλων δορυφορούμενον· εἴδετε ἐν πενίᾳ τότε, βλέπετε ἐν τρυφῇ νῦν· εἴδετε ἐν λιμῷ, βλέπετε ἐν ἀφθονίᾳ πολλῇ· εἴδετε ἀγωνιζόμενον, βλέπετε στεφανούμενον· εἴδετε τὰς πόνους, βλέπετε τὰς ἀμοιβὰς πλούσιοι καὶ πένητες. πλούσιοι μὴ ἵνα μὴ μέγα εἴῃ νομίζητε τὸν πλοῦτον χωρὶς ἀρετῆς· πένητες δὲ ἵνα μηδὲν κακὸν νομίζετε εἶναι τὴν πενίαν. ἑκατέρωθεν δὲ διδάσκαλος οὗτος ἔζηκεν· εἰ γὰρ ἐν πενίᾳ ἐκεῖνος οὐκ ἦν ἀπερυσπέτητος· τίνα ἔχουσι συγγνώμην, οἱ ἐν πλούτῳ τοῦτο ποιοῦντες;

Εἰ

Εἰ ἐν λιμῷ, καὶ τοσούτοις κακοῖς ὢν ἐυχαρίστησε, ποίαν ἔξουσιν ἀπολογίαν οἱ μετ' ἀφθονίας μὴ βουλόμενοι πρὸς τὴν ἀντίδοσιν ἐλθεῖν ἀρετήν.

Πάλιν οἱ πένητες οἱ διὰ τὴν πλωχείαν ἀγανακτοῦντες καὶ δυσχεραίνοντες, τίνα ἕξουσι συγγνώμην· ὅταν ἴδωσι καὶ λιμὸν καὶ πενίαν καὶ ἐρημίαν, καὶ ἀῤῥωστίαν διαπαντὸς ζῶντα ἐν οἰκίαις πλουσίων τοις, καὶ παρὰ πάντων ὑποφερόμενος, καὶ πρὸς ἕτερον τὰ αὐτὰ αὐτῷ συμπορθότα ἰδεῖν ἐκ ἴσχων, οὕτω φαίνηται φιλοσοφῶν; ἀπὸ τούτου μάθωμεν, μὴ τοὺς πλουσίους μακαρίζειν, μηδὲ τοὺς πενομένους ταλαιπωρεῖν.

Μᾶλλον δὲ, εἰ χρὴ τὴν ἀλήθειαν εἰπεῖν, οὐδὲ πλούσιος ἐστιν ἐκεῖνος, ὁ πολλὰ προσδεόμενος, ἀλλ' ὁ μὴ πολλῶν δεόμενος. οὐδὲ πένης ἐστὶν ἐκεῖνος ὁ μηδὲν κεκτημένος, ἀλλ' ὁ πολλῶν ἐφιέμενος. καὶ τοῦτον ὅρον πενίας δεῖ νομίζειν εἶναι. ἂν τοίνυν ἴδῃς τινα πολλῶν ἐφιέμενον, πάντων αὐτὸν πενέστερον εἶναι νόμιζε, κἂν τὰ πάντων ἔχῃ κεκτημένος χρήματα. ἂν δὲ πάλιν ἴδῃς τινα μὴ πολλῶν δεόμενον, πάντων αὐτὸν εὐπορώτερον εἶναι ψηφίζου, κἂν μηδὲν κεκτημένος ᾖ. τῇ γὰρ διαθέσει τὴν γνώμην, καὶ τῷ μέτρῳ τὴν οὐσίας, τὰς πενίας καὶ εὐπορίας κρίνειν εἰώθαμεν.

Ὥσπερ οὖν τὰ διηνεκῶς διψῶντα ἐκ ἂν εἴποιμεν ὑγιαίνειν κἂν ἀφθονίας ἀπολαύῃ, κἂν παρὰ ποταμοὺς καὶ πηγὰς κατάκειται (τί γὰρ ὄφελος τῆς ὑδάτων ἁφθονίας ἐκείνης, ὅταν τὸ πάθος ἄσβεστον μένῃ;) οὕτω δὴ καὶ ὅστις τῆς πλουτούντων ποιᾶς ἐπιθυμοῦντας ἀεὶ, καὶ διψῶντας τῆς ἀλλοτρίων μηδέποτε νομίζωμεν ὑγιαίνειν, μηδὲ ἀφθονίας ἀπολαύειν τινός. ὁ γὰρ τὴν ἑαυτοῦ σῶσαι μὴ δυνάμενος ἐπιθυμίαν, κἂν τὰ πάντων προσδέηται, πῶς ἂν ἴσχυε ἐν εὐπορίᾳ πολλῇ; τοὺς μὲν τοῖς οἰκείοις ἀρκου-

ρήμους, καὶ ἐργοντας τὰ ἑαυτῦ, κὴ μὴ ἀφειδοποιυμένους τὰς ἀλλοτρίας ὐσίας, κὴν ἁπάντων ὦσιν ἀπορώτεροι, πάντων ἐυπορώτερους εἶ) χρὴ νομίζειν.

Ὁ γὰρ μὴ θελόμενος τῦ ἀλλοτρίων, ἀλλ' ἐν αὐταρκείᾳ ἀγαπῶν εἶ), πάντων ἐστὶν ἐυπορώτερος. ἀλλ' εἰ δοκεῖ „ ὁπὶ τιὼ προκειμένην ὑπόθεσιν ἐπανέλθωμεν. ἐγένετο, φη- „ σὶν, ἀποθανεῖν τὸν Λάζαρον, καὶ ὑπενεχθῆναι ὑπὸ τῦ „ ἀγγέλων.

Ἐνταῦθα πονηρὸν νόσημα τ' ὑμετέρας ἐξελεῖν βούλομαι ψυχῆς. κὴ γὰρ πολλοὶ τῦ ἀφελεστέρων νομίζυσι τὰς ψυχὰς τῦ δικαίᾳ θανάτῳ τελευτώντων δαίμονας γίνεσθαι. ὐκ ἔστ ᾗ τῦτο, ὐκ ἔστιν. ὐ γὰρ αἱ ψυχαὶ τῦ δικαίου θανατουμένων δαίμονες γίνονῦ, ἀλλ' αἱ ψυχαὶ τῦ ἐν ἁμαρτήμασι ζώντων· οὐ τῆς ὐσίας αὐτῶν μεταβαλλομένης, ἀλλὰ τ' προαιρέσεως αὐτῶν τιὼ ἐκείνων μιμεμένης κακίαν.

Τῦτο γοιῶ κὴ πρὸς τοὺς Ἰουδαίους ἅπαξ ὁ χριστὸς ἔλε- „ γεν, ὑμεῖς τῦ διαβόλυ ἐστε. ἐξ ὧν ᾗ διαβόλυ αὐτοὺς εἶ- πεν, ὐκ ἐπειδὴ εἰς τιὼ ὐσίαν τιὼ ἐκείνου μετέπεσον, ἀλλὰ ἐπειδὴ τὰ ἔργα ἐκείνυ ἐποίυν. διὸ κὴ προσέθηκε, τὰς γὰρ „ ὀπιθυμίας τῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν. κὴ πάλιν, γεννήμα- „ τα ἐχιδνῶν, τίς ὑπέδειξε φυγεῖν ἀπὸ τ' μελλύσης ὀργῆς; „ ποιήσατε οὖν καρπὸν ἄξιον τ' μετανοίας· κὴ μὴ δόξητε λέ- „ γειν, πατέρα ἔχομεν τὸν Ἀβραάμ. συγγενείας γὰρ νόμους, οὐ τοὺς ἀπὸ τ' φύσεως, ἀλλὰ τοὺς ἀπὸ τῆς ἀρετῆς καὶ τῆς κακίας ὅιδεν ἡ γραφὴ καλεῖν· κὴ ὧν ἂν τις ὁμόζηλος γέν- ηται, τύτου κὴ υἱὸν, καὶ ἀδελφὸν εἶ) φησὶν αὐτὸν ἡ γραφή.

Ἀλλὰ τίνος ἕνεκεν ὁ διάβολος τὸ πονηρὸν δόγμα τῦτο εἰσήγαγεν; τιὼ τῦ μαρτύρου ἐπιχείρησι διορύξαι δόξαν. ἐπειδὴ γὰρ δικαίῳ θανάτῳ τελευτῶσιν ἐκεῖνοι, βουλόμενος

αὐτῶν

αὐτῶν κατασκεδάσαι πονηρὸν ὑπόλημψιν, τοῦτο ἐποίησεν.

Ἀλλὰ τοῦτο μὴ ἂν ἴσχυσεν. μᾶλλον γὰρ τῷ οἰκείῳ ἔχοντες λαμπρότητα. ἕτερον δὲ χαλεπώτατον κατειργάσατο· τοὺς γὰρ τοὺς ὑπηρετουμένους αὐτῷ, διὰ τούτων πείσας τὴν δόξαν, πολλῶν νέων ἀπαλῶν σώματα κατασφάττειν, ἐλπίδι τοῦ δαίμονας ἵστασθαι, καὶ πάλιν αὐτοῖς ὑπηρετεῖν. ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστι.

Τί οὖν, ὅτι οἱ δαίμονες λέγουσι τῷ μοναχῷ τοῦ δεῖνος ἡ ψυχὴ εἰμὶ, φησίν;

Διὰ γὰρ τοῦτο οὐ πιστεύω, ὅτι δαίμονες λέγουσιν· ἀπατῶσι γὰρ τοὺς ἀκούοντας. διὰ τοῦτο καὶ ὁ Παῦλος, καίτοιγε ἀληθεύοντας ἐπισύρεσθαι αὐτοὺς, ἵνα μὴ προφάσιν λαβόντες τοῖς ἀληθέσιν, καὶ ψευδῆ πάλιν ἀναμίξωσι, καὶ ἀξιόπιστοι γένωνται. ἐπειδὴ γὰρ ἔλεγον, οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ θεοῦ τοῦ ὑψίστου εἰσὶ καταγγέλλοντες ὑμῖν ὁδὸν σωτηρίας· διαπονηθεὶς τῷ πνεύματι ἐπετίμησε τῷ πύθωνι, καὶ ἐξελθεῖν ἐκέλευσε. καί τοι τί πονηρὸν ἔλεγον; οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ θεοῦ τοῦ ὑψίστου εἰσίν.

Ἀλλ' ἐπειδὴ πολλοὶ τῷ ἀφιλεστέρῳ ἀεὶ διακεῖσθαι οὐκ ἴστασι τὰ παρὰ τῶν δαιμόνων λεγόμενα· καθάπαξ αὐτοὺς ἀποκλεῖσαι τοῦ μὴ πιστεύεσθαι. τῶν ἀτιμωμένων εἶ φησίν. ἀπαρρησίαστος εἶ, σιώπα, πφίμωσο. οὐκ ἔστι σὸν τὸ κηρύττειν, Ἀποστόλων ἐστὶ τοῦτο τὸ ἀξίωμα. τί ἁρπάζεις τὸ μὴ σόν; σίβα, ἀτίμωσαι. οὕτω καὶ ὁ χριστὸς ἐποίησε λέγουσιν αὐτῷ τοῖς δαίμοσι, οἶδαμέν σε τίς εἶ, ἐπέλιμησεν αὐτοῖς μὴ πολλῆς τοῦ προσῤῥήσεως, διδάσκων ἡμᾶς μηδαμοῦ δαίμονι πείθεσθαι, μηδὲ ἂν σοί τί ἐστιν λέγῃ. ἅπερ δὴ καὶ μανθάνοντες μὴ πειθώμεθα δαίμονι καθόλου· ἀλλὰ κἂν ἀληθές τι φθέγξηται, φεύ-

γενέσθαι αὐτὸν καὶ ἀποστροφόμενα τὰ τοῦ ὑγιοῦ δόγματα καὶ σωτήρια, οὐ παρὰ δαιμόνων ἀλλὰ παρὰ τῆς θείας γραφῆς ἐστι μετ' ἀκριβείας μαθεῖν.

Ὅτι γὰρ οὐκ ἔστι ψυχὴν τοῦ σώματος ἐξελθούσαν ὑπὸ τὴν τοῦ δαιμόνων γενέσθαι τυραννίδα, ἄκουσον τί φησιν ὁ Παῦλος. » ὁ γὰρ ἀποθανὼν δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας, τουτέστιν οὐκ ἔτι ἁμαρτάνει. εἰ γὰρ ἐν τῷ σώματι οἰκούσῃ τῇ ψυχῇ, βίᾳ ἐπαγαγεῖν οὐ δυνήσεται ὁ διάβολος, εὐδηλον ὅτι ἐν δὲ ἀπελθούσῃ. πῶς οὖν ἁμαρτάνουσι, φησὶν, εἰ μὴ εἴδωσι πάσχωσιν, ; ἑκοῦσαι καὶ βουλόμεναι, καὶ ἑαυτὰς ἐκδιδοῦσαι, οὐκ ἀναγκαζόμεναι, οὐδὲ τυραννούμεναι. καὶ τοῦτο ἐδήλωσεν ἅπαντες οἱ παρεγινόμενοι τῷ ἐκείνου μνήματι.

Τὸν γοῦν Ἰακὼβ μυρία κακώσας οὐκ ἴσχυσε πεῖσαι βλασφημόν τι ῥῆμα ἐξενεγκεῖν. ὅθεν δῆλον ὅτι καὶ τοῦ πείθειν, καὶ τοῦ μὴ πείθειν ταῖς ἐκείνου συμβουλαῖς, ἡμεῖς ἐσμὲν κύριοι, καὶ ἀνάγκην οὐδεμίαν, οὐδὲ τυραννίδα ὑφιστάμεθα παρ' ἐκείνου.

Οὐκ ἐκ τῆς εἰρμένων δὲ μόνον, ἀλλὰ καὶ ἐκ τῆς προκειμένης παραβολῆς εὐδηλον, ὅτι τοῦ σώματος αἱ ψυχαὶ ἐξελθοῦσαι οὐκ ἔτι σὺν αὐτοῖς διατρίβουσιν, ἀλλ' εὐθέως ἀπάγονται. » καὶ ἄκουε πῶς. ἐγένετο γὰρ αὐτὸν, φησὶν, ἀποθανεῖν, καὶ ἀπενεχθῆναι ὑπὸ τῶν ἀγγέλων. οὐχ αἱ τῶν δικαίων δὲ μόνον, ἀλλὰ καὶ τῶν ἐν πορνείᾳ ζώντων ἀπάγονται ἐκεῖ αἱ ψυχαί. καὶ τοῦτο πάλιν ἐξ ἑτέρου πλουσίου δῆλον. ἐπεισὶ γὰρ ἐυφόρησεν ἡ χώρα αὐτοῦ, εἶπεν ἐν ἑαυτῷ· τί ποιήσω; καθελῶ μου τὰς ἀποθήκας καὶ μείζονας οἰκοδομήσω. οὐδὲν ἀθλιώτερον τῆς τοιαύτης γνώμης. ὄντως καθεῖλε αὐτοῦ τὰς ἀποθήκας· ἀποθήκας γὰρ ἄσυλοι, οὐχ

ἁρ

οἱ τοῖχοι, ἀλλ' αἱ τῶν πενήτων εἰσὶν γαστέρες· ὁ δὲ ἐκείνας ἀφεὶς ἐκεῖ τοίχους ἠσχολεῖτο. τί οὖν πρὸς αὐτὸν ὁ θεὸς; "ἄφρον, ταύτῃ τῇ νυκτὶ ἀπαιτοῦσι τὴν ψυχήν σου ἀπὸ σοῦ." "

Καὶ ὅρα, ἐνταῦθα φησὶν ἀπενεχθῆναι ὑπὸ τῶν ἀγγέλων· ἐκεῖ ἀπαιτοῦσι. καὶ τὸν μὲν ὡς δεσμώτην ἐξῆγον, τὸν δὲ ὡς στεφανίτην ἐλαμπαδήφορουν. καὶ καθάπερ ἐν τῷ σκάμματι πολλά τινα τραύματα λαβόντα, καὶ αἵματι καταρρεχτισμένον, εἶτα τὴν κεφαλὴν ἀναδησάμενον, ὅς πρὸ τοῦ σκάμματος ἑστῶτες ὑποδεξάμενοι, μετὰ πολλῆς τῆς εὐκοσμίας ὁδηγοῦσι, κροτοῦντες, εὐφημοῦντες, θαυμάζοντες· οὕτω καὶ ὁ Λάζαρον ἄγγελοι τότε ἀπήγαγον. ἐκείνην δὲ τὴν ψυχὴν ἀπήτουν φοβεραί τινες δυνάμεις, ἴσως ἀπεσταλμέναι ὅπου τοῦτο. οὐ γὰρ αὐτόματος ἡ ψυχὴ πρὸς ἐκείνην ἀναχωρεῖ τὴν ζωήν. ἐπειδὴ μηδὲ δυνατόν.

Εἰ γὰρ πόλιν ἐκ πόλεως ἀμείβοντες, τῶν χειραγωγούντων δεόμεθα· πολλῷ μᾶλλον ἡ ψυχὴ τὸ σαρκὸς ἀποῤῥαγεῖσα, καὶ πρὸς τὸ μέλλουσαν μεθιστάμενη ζωήν, τῆς ὁδηγησόντων αὐτὴν δεήσεται. διὰ τοῦτο πολλάκις ἀναδύεται, καὶ πρὸς τὸ ᾅδου κάτω χωρεῖ, καὶ δέδοικε, καὶ φρίττει, μέλλουσα τῆς σαρκὸς ἀφίπασθαι.

Ἂν εἰ μὲν γὰρ ἡμᾶς καντεῦθεν τῶν ἁμαρτημάτων τὸ σωτῆριον, μᾶλλον ἂν κατ' ἐκείνην τὴν ὥραν, ὅταν μέλλωμεν ἐντεῦθεν ἀπάγεσθαι πρὸς τὰς εὐθυνὰς τὰς ἐκεῖ, καὶ τὸ φοβερὸν δικαστήριον. τότε εἴτε ἥρπασέ τις, εἴτε ἐπλεονέκτησεν, εἴτε τίνα ἐπῆρεν, εἴτε τινος ἐζήλωσεν ἐχθρὸς ἀδίκως, εἴτε ἄλλο ὁτιοῦν πλημμέλημα εἰργάσατο· ἅπας ὁ τῶν ἁμαρτημάτων ἔμετος ἀναπεῖται καὶ πρὸ τῶν ὀφθαλμῶν ἵσταται, καὶ τὴν διάνοιαν κεντεῖ.

Καὶ καθάπερ οἱ τὸ δεσμωτήριον οἰκοῦντες, ἀεὶ μὲν ἐν κατηφείᾳ καὶ ἀθυμίαις εἰσὶν, μᾶλλον δὲ καὶ τὴν ἡμέραν ἐκείνην,

καθ'

καθ' ἣν ἂν μέλλωσιν ἐξάγεσθαι, καὶ παρ' αὐτὰς τὰς τοῦ δικαίζοντος ἄγελης θύρας, καὶ πρὸ τῆς κιγκλίδων ἑστῶτες, καὶ τὸν κρίνοντος φωνῆς ἔνδοθεν ἀκούοντες, ἀποπνίγονται τῷ φόβῳ, καὶ τῆς νικηφόρου οὐδὲν ἄμεινον διάκεινται· οὕτω καὶ ἡ ψυχὴ μέλλουσα μὴ καὶ ἐν αὐτῷ τῷ καιρῷ τῆς ἁμαρτίας ἀθυμεῖται καὶ στενοχωρεῖται, πολλῷ δὲ πλέον, ὅταν ἐντεῦθεν ἀπαναστατεῖσα ἀπάγεσθαι μέλλῃ.

Σιγᾷ τε ταῦτα ἀκούοντες; πολλοὶ ὑμῖν ἔχω χάριν τῆς σιγῆς ταύτης μᾶλλον, ἢ τῆς κρότων. οἱ μὲν γὰρ κρότοι καὶ οἱ ἔπαινοι λαμπροτέρους ἡμᾶς ποιοῦσιν, ἡ σιγὴ δὲ αὐτὴ σωφρονιστέρους ὑμᾶς ἐργάζεται.

Οἶδα ὅτι λυπεῖ τὰ λεγόμενα, ἀλλὰ σφόδρα κερδᾶς ἔχει καὶ ἄφατον. ὁ πλούσιος ἐκεῖνος εἴ τινα εἶχε τοιαῦτα αὐτῷ παραινοῦντα, ἀλλὰ μὴ κόλακας τοὺς πρὸς χάριν ἅπαντα συμβουλεύοντας, καὶ εἰς πυφλὼ ἔλκοντας, οὐκ ἂν εἰς τὴν γέενναν ἦλθεν ἐκείνην, οὐκ ἂν τοὺς βασάνους ὑπέμεινε τοὺς ἀφορήτους, οὐκ ἂν ἃ παρῃνέμησε μετὰ ταῦτα μετενόησεν· ἀλλ' ἐπειδὴ τὰ πρὸς χάριν ἅπαντες διελέγοντο, παρέδωκαν αὐτὸν τῷ πυρί.

Εἰ δὲ ἦν ἀεὶ καὶ διηνεκῶς ταῦτα φιλοσοφεῖν, καὶ πρὸ γενέσεως φθέγγεσθαι· ἐν μὲν πᾶσι γὰρ, φησὶ, τοῖς λόγοις σου, μεμνήσκῃ τὰ ἔσχατά σου, καὶ εἰς τὸν αἰῶνα οὐ μὴ ἁμαρτῇς. καὶ πάλιν, ἑτοίμασε εἰς τὴν ἔξοδον τὰ ἔργα σου, καὶ παρασκεύαζε πρὸς τὸν ὅσιον.

Εἴ τινος ἥρπασάς τι, ἀπόδος· καὶ εἰπὲ κύριε ὁ Ζακχαῖος· σήμερον τετραπλάσιον τὰ ἁρπαγέντα. εἴ τινος ἐσυκοφάντησας, εἴ τινος γέγονας ἐχθρὸς, καταλλάγηθι πρὸ τοῦ δικαστηρίου, πάντα ἐνταῦθα διάλυσαι, ἵνα χωρὶς φοβερισμάτων τὸ ζῆμα ἴδῃς ἐκεῖνο.

Ἕως

Ἕως ἂν ἐνταῦθα ὦμεν, ἐλπίδας ἔχομεν χρηστὰς· ἐπειδὰν δὲ ἀπέλθωμεν ἐκεῖ, κύριοι λοιπὸν μετανοίας οὐκ ἐσμὲν, οὐδὲ τῶν τὰ ἡμαρτημένα ἡμῖν ἀποπλύναι. διὸ χρὴ παρασκευάζεσθαι σπουδαίως πρὸς τὴν ἐνθένδε ἔξοδον. τί γὰρ ἐὰν ἰατρὸς σλόξῃ τῷ θεραπεύτῃ καλέσαι ἡμᾶς; τί δὲ ἐὰν αὔριον; ἄδηλον γὰρ τὸ μέλλον, ἵνα ἐναγώνιοι σπουδαίως ὦμεν, καὶ πρὸς τὴν ἀποδημίαν εὐρεθεῖς ἑκείνην.

Καθάπερ οὖν οὗτος ὁ Λάζαρος διὰ παντὸς ἦν ἐν ὑπομονῇ καὶ καρτερίᾳ, διὸ καὶ μετὰ τοσαύτης ἀπήγετο τιμῆς· ἀπίθανον δὲ καὶ ὁ πλοῦτος, καὶ ἐτάφη· καθάπερ μνήματι τῷ σώματι τῆς ψυχῆς αὐτοῦ κατωρυγμένης, καὶ τάφον περιφερούσης τὴν σάρκα. ὥσπερ γὰρ ἀλύσει τινὶ τῇ μέθῃ καὶ τῇ γαστριμαργίᾳ πεπεδημένος, οὕτως ἄπορον αὐτὴν καὶ πενιχρὰν εἰργάσατο.

Μὴ ἁπλῶς παραβλέψωμεν ἀγαπητὲ, τὸ ἐτάφη. ἀλλ' ἐνταῦθά μοι νόει, τὰς βαπτίζας τὰς πεποικιλμένας, τὰς κλίνας, τὰς τάπητας, τὰ πεπλώματα, τὰ ἄλλα τὰ τῆς οἰκίας ἅπαντα, τὰ μύρα, τὰ ἀρώματα, τὴν πολυτελῆ ἀκρόασιν, τὴν διαπλοκὴν τῶν ποικιλιῶν, τὰ καρυκεύματα, τοὺς μαγείρους, τὰς κόλακας, τοὺς δορυφόρους, τοὺς οἰκέτας, τὴν ἄλλην ἅπασαν φαντασίαν κατεσβεσμένην καὶ κεκαμακρανθεῖσαν. πάντα ἀπώλετο, πάντα τέφρα καὶ κόνις, θρῆνοι καὶ ὀδυρμοί· ὀδύνας δυναμένας ἔσπασαν λοιπὸν, οὐδ' ἀπελθοῦσαι ἐπαναγαγεῖν τὴν ψυχήν.

Τότε ἡ σπουδὴ ἠλέγχετο τῆς χρυσίκης, καὶ τῆς πολλῆς ἀφειδείας. ἐκ γὰρ τοσαύτης θεραπείας, γυμνὸς ἀπήγετο, καὶ μόνος· οὐδὲν ἐκ τῆς τοσαύτης εὐπορίας ἀπενεγκεῖν ἐπεδύσατο δυνάμενος· ἀλλ' ἔρημος, ἀπροστάτευτος ἀπήγετο. οὐδεὶς τὸν θεραπευσάντων, οὐδεὶς τὸν βεβοηθηκότων παρῆν ἐξαιρησόμενος

μῆμος τῆς κολάσεως κ) τῆς τιμωρίας. ἀλλὰ πάντων ἐκείνων ὑποκαταδεὶς μόνος ἀπιλαμβάνετο, τὰς ἀφορήτους ὑπομένων τιμωρίας.

» Οὕτως πᾶσα σὰρξ ὡς χόρτος, καὶ πᾶσα δόξα ἀν-
» θρώπου, ὡς ἄνθος χόρτου· ἐξηράνθη ὁ χόρτος, καὶ τὸ
» ἄνθος αὐτοῦ ἐξέπεσεν, τὸ δὲ ῥῆμα κυρίου μένει εἰς
» τὸν αἰῶνα.

Ἦλθεν ὁ θάνατος, καὶ πάντα ἔσβεσεν ἐκεῖνα. κ) καθάπερ αἰχμάλωτον λαβὼν, οὕτως αὐτὸν ἀγαγὼν κάτω κύπτοντα, αἰσχυνόμενα, ἀπαρρησίαστον, τρέμοντα, διϊδιόντα, ὥσπερ ἐν ὀνείροις ἀπολαύσαντα τῆς τρυφῆς ἐκείνης ἁπάσης. κ) λοιπὸν ἐκέτης ὁ πλούσιος τοῦ πένητος ἐγίνετο, κ) τῆς τούτου τραπέζης ἐδεῖτο, τοῦ λιμώττοντός πω, κ) τοῖς ψίξασι τῆς κυνῶν παρκειμένου.

Καὶ τὰ παράγματα μετεβάλλετο, καὶ ἐμάνθανον ἅπαντες, τίς ἦν ὁ πλούσιος· καὶ τίς ἦν ὁ πένης, καὶ ὅτι ὁ μὲν Λάζαρος πάντων ἦν εὐπορώτερος, οὗτος δὲ πάντων πενέστερος.

Καθάπερ γὰρ ἐν σκηνῇ, προσωπεῖα βασιλέων, κ) στρατηγῶν κ) ἰατρῶν, κ) ῥητόρων, κ) σοφιστῶν, κ) στρατιωτῶν λαμβάνοντες εἰσέρχονταί τινες, οὐδὲν τούτων ὄντες αὐτοὶ· οὕτω δὴ κ) ὅτε τοῦ παρόντος βίου, κ) πενία, κ) πλοῦτος προσωπεῖα μόνον εἰσίν.

Ὥσπερ οὖν ἐν τῷ θεάτρῳ καθήμενος, ἂν ἴδῃς τινα τῶν κάτω παιζόντων προσωπεῖον ἔχοντα βασιλέως, οὐ μακαρίζεις, αὐτὸν, οὐδὲ βασιλέα νομίζεις, οὐδ' ἂν ἔνδοξον ὑπολάβῃς τοιοῦτος· ἀλλ' εἰδὼς ὅτι τῶν ἀγοραίων τίς ἐστι χαλκοτύπος, ἢ ἕτερόν τι τοιοῦτον· οὐ μακαρίζεις διὰ τὸ προσωπεῖον κ) τὴν στολήν, οὐδ' ἀπὸ τούτων

αὐτὸ

αὐτὸ κρίνῃς ἢ πολιτείαν, ἀλλὰ καταπύθῃς αὐτὸ διὰ ἢ ἄλλαν ἐντέλθῃν· οὕτω δὴ κ) ἐνταῦθα, καθάπερ ἐν θεάτρῳ τῷ κόσμῳ καθήμενος, κ) ὅτι σκηνῆς παίζοντας βλέπων, ἐπίσθω ἂν ἴδῃς πλουτοῦντας πολλοὺς, μὴ πλουσίους ἀληθῶς εἶ νόμιζε, ἀλλὰ πλουσίων ἀνεικαίους θεσσωπείαν.

Καθάπερ γὰρ ἐκεῖνος ὁ ὅτι τῆς σκηνῆς, ἡ βασιλέα καὶ τὸν στρατηγὸν ὑποκρινόμενος, πολλάκις οἰκέτης ὢν τυγχάνει, ἢ τὴν σῦκα κ) ῥόδους πωλοῦντων ἐπ' ἀγορᾶς· οὕτω δὴ κ) ὅδε ὁ πλούσιος, πολλάκις πάντων πενέστερος ὢν τυγχάνῃ. ἂν γὰρ ἀφελίῃς αὐτοῦ τὸ θεσσωπεῖον, κ) τὸ σωφθλὸς ἀναπύξῃς, καὶ εἰς τὴν διάνοιαν ἐξέλθῃς, πολλὴν εὑρήσεις ἀρετῆς ἐκεῖ πενίαν, καὶ πάντων ἀπορώτερον ὄντα τῶν ἀνθρώπων.

Ὥσπερ γὰρ ὅτι τῆς θεάτρου τὴν ἀσφάλειαν καταλαβόντες, κ) τῆς συγκαθημένων ἀναχωρησάντων, ἐξελθόντες ἴδοι, καὶ τὸ χῆμα τῆς ὑποθέσεως ἀποθέμενοι, οἱ βασιλεῖς καὶ στρατηγοὶ πᾶσιν εἶ δοκοῦντες φαίνονται λοιπὸν ὄντες εἰσὶν· οὕτω δὴ καὶ νοῦ τοῦ θανάτου παραγενομένου, καὶ τῷ θεάτρου λυθέντος, τὰ τοῦ πλούτου θεσσωπεῖα, καὶ τὰ τῆς πενίας ἀποθέμενοι πάντες, ἀπῆλθον ἐκεῖ· καὶ ἀπὸ τῆς ἔργων μόνον κρινόμενοι φαίνονται, τίνες μὲν ἀληθῶς πλούσιοι, τίνες δὲ πένητες, τίνες μὲν ἔντιμοι, τίνες δὲ ἄθλοξοι.

Πολλάκις γοῦν τῆς ἐνταῦθά τις πλουτούντων εὑρίσκοντων ἐκεῖ πενέστερος ὤν. καθάπερ οὖν κ) ὁ πλούσιος ἔλεγε. ἐπεισῆλθε γὰρ ἡ ἀσπὶς καταλαβεῖν, τουτέστιν ὁ θάνατος, καὶ ἐκ τοῦ θεάτρου τῆς παρούσης ζωῆς ἐξῆλθε, κ) τὸ θεσσωπεῖον ἀπέθετο, ὥρθη πάντων ἐκεῖ πενέστερος ὤν. καὶ ὅντως πένης, ὡς μὴ δὲ στάγονος ὕδατος εἶ κύριος

ἀλλὰ

ἀλλ' ὑφ' ταύτης προσαιτεῖν, καὶ μηδ' ἀυτῆ ἐπιτυχεῖν τ' αἰτήσεως.

Τί ταύτης τῆς πενίας πενιςότερον γένοιτ' ἄν; ἐπάρασε γὰρ τοὺς ὀφθαλμοὺς ἀυτῆ, φησὶ, πρὸς τὸν Ἀβραάμ. πάτερ ἐλέησόν με καὶ πέμψον Λάζαρον, ἵνα βάψῃ ἄκρον τοῦ δακτύλου ἀυτῆ ὕδατος καὶ καταψύξῃ τὴν γλῶσσάν μου.

Ὁρᾷς πόσον ἐςὶν ἡ θλῖψις; πλησίον ὄντα παρήτηχεν, καὶ πόρρω γε ὄντα καλεῖ πρὸς. ὃν πολλάκις εἰσιόν τε καὶ ἐξιόν οὐχ ἑώρα, τοῦτον μακρόθεν ὄντα μετ' ἀκριβείας βλέπει.

Τίνος δὲ ἕνεκεν ἀυτὸν ὁρᾷ; πολλάκις ἴσως εἶπεν ὁ πλούσιος ὗτος, τί μοι ἐυλαβείας καὶ ἀρετῆς χρεία; πίνω μοι καθαίρω ἐκ πηγῶν ὑπερῤῥεῖ, πολλῆς ἀπολαύω τ' ἀφθονίας, πολλῆς τ' ἐυημερίας, ἀδελν ἀπεμφύω τὴν ἀδοκήτων, τίνος ἕνεκα μετέρχομαι ἀρετήν; ὗτος ὁ πένης ἐν δικαιοσύνῃ καὶ ἐυσεβείᾳ ζῶν, μυρία πάσχει δεινά.

Ταῦτα δὴ πολλοὶ καὶ πρὸς πολλάκις λέγεται. ἵν' ὦν περίῤῥιζα ταῦτα ἀνασπασθῇ τὰ κακὰ δόγματα, δείκνυσιν ἀυτῷ, ὅτι καὶ τῇ κακίᾳ κόλασις κεῖται· καὶ τιμὴ καὶ ςέφανος τοῖς ἀπὸ τ' ἐυσεβείας πόνοις. ἐ διὰ τῦτο ἦλθε μόνον ἀυτὸν εἴδῃ, ἀλλ' ἵνα ὅσα ἔπαθεν ὁ πένης, τῦτο καὶ ὁ πλούσιος πάθῃ νῦν, μᾶλλον μείζονος τ' ἀπορβολῆς.

Καθαίρω γὰρ ἐκείνῳ χαλεπωτέραν ἐποιεῖτο τὴν βάσανον τὸ ἐν τῷ πυλῶνι τῦ πλησίον κεῖσθαι, καὶ ὁρᾶν τὰ ἀλλότρια ἀγαθά· ὕστερον δὴ καὶ τότε χαλεπωτέραν ἐπόιει τ' τιμωρίαν νεκρῦ, τὸ ἐν τῇ γείνῃ κεῖσθαι, καὶ ὁρᾶν τὴν τῦ Λαζάρε ψυχὴν ἵνα μὴ τῇ φύσει τὴν βασάνων μόνον, ἀλλὰ καὶ τῇ παραθέσει τ' ἐκείνε τιμῆς, ἀφορητοτέραν ἔχῃ τ' κόλασιν.

Καὶ

Καὶ καθάπερ ἡ Ἀδὰμ ἐκβαλοῦσα τὸν παραδείσου, κατα-
πικρὸ τὸν παράδεισον κατῴκησεν ὁ θεὸς, ἵνα ἡ συμ-
φορὰς ὄψις ἀναπείσασα τὸ πάθος, ἀκριβέστερον αὐτῷ πε-
ράσῃ τῆς ἐκπάσεως τὴν ἀγαθῶν τιμὴν ἀΐδησιν· οὕτω δὴ κἀ
τοῦτον κατέναντι τοῦ Λαζάρου κατῴκισεν, ἵνα ἴδῃ τίνων
ἑαυτὸν ἀπεστέρησεν.

Ἐπεμψά σοι φησὶν εἰς τὸν πυλῶνα τὸν πένητα Λάζα-
ρον, ἵνα σοι γένηται διδάσκαλος ἀμείνων, καὶ φιλαν-
θρωπίας ὑπόθεσις· παρεῖδες τὸ κέρδος, οὐκ ἠθέλησας εἰς
δέον χρήσασθαι τῇ τῆς σωτηρίας ἀφορμῇ, χρήσῃ λοιπὸν αὐτῷ
εἰς μείζονα κολάσεως καὶ τιμωρίας ὑπόθεσιν.

Ἀπὸ τούτων μανθάνομεν, ὅτι πάντες οἱ παρ' ἡμῶν ἐπη-
ρεαζόμενοι, καὶ ἀδικούμενοι, κατ' οὐδένα τρόπον ἡμῶν ἥσσονες τυγ-
χάνουσιν· καίτοι οὐδὲν ἠδίκητο παρὰ τοῦ πλουσίου. οὐ γὰρ τὰ
ἐκείνου ἔλαβε χρήματα ὁ πλούσιος, ἀλλὰ τὴν ἑαυτοῦ οὐ
μετέδωκεν.

Εἰ δὲ τὴν ἑαυτοῦ ὁ μὴ μεταδιδοὺς, κατήγορον ἔχει τὸν
οὐκ ἐλεηθέντα· ὁ καὶ τὰ ἀλλότρια ἁρπάσας, ποίας τεύξεται
συγγνώμης, πάντα χόδεν αὐτὸν ἀφειμένων τὴν ἀδικημάτων;
οὐ γὰρ μαρτύρων ἐκεῖ χρεία, οὐδὲ κατηγόρων, οὐδὲ ἀπο-
δείξεων, οὐδὲ τεκμηρίων· ἀλλ' αὐτὰ καθ' ἑαυτὰ τὰ
πράγματα, διάδηλα αὐτὰ κατεσκευάσαμεν, ἀφ' ἑαυτῶν φα-
νέντα τῆς ἡμετέρας. ἰδοὺ γὰρ φησὶν, αἰσθάνεται καὶ τὰ
ἔργα αὐτά. καὶ γὰρ καὶ τοῦτο ἁρπαγὴ, τὸ μὴ μεταδιδόναι
τῶν ὄντων.

Καὶ τάχα ὑμῖν θαυμαστὸν εἶναι δοκεῖ τὸ λεγόμενον.
ἀλλὰ μὴ θαυμάσητε, μαρτυρίαν γὰρ ὑμῖν ἀπὸ τῆς θείας
παρίξομαι γραφῆς λέγουσαν· ὅτι οὐ τὸ τὰ ἀλλότρια
ἁρπάζειν μόνον, ἀλλὰ καὶ τὸ τῶν ἑαυτοῦ μὴ μεταδι-

δόναι ἑτέροις, καὶ τοῦτο ἁρπαγὴ καὶ πλεονεξία, καὶ ἀποστέρησίς ἐστιν.

Τίς δέ ἐστιν αὐτὴ; τοῖς Ἰουδαίοις ἐγκαλῶν διὰ τῦ προφήτου, φησὶν. ἐξήνεγκεν ἡ γῆ τὰ ἐκφόρια αὐτῆς, καὶ οὐκ εἰσηνέγκατε τὰ ἐπιδέκατα· ἀλλ' ἡ ἁρπαγὴ τῦ σίλικος ἐν τοῖς οἴκοις ὑμῶν.

Ἐπειδὴ τὰς προσφορὰς, φησὶ, τὰς εἰωθυίας οὐκ ἐδώκατε, ἡρπάσατε τὰ τῦ πένητος.

Τοῦτο δὲ λέγει, δεικνὺς τοῖς πλουσίοις ὅτι τὰ τῶν πενήτων ἔχουσι, κἂν πατρῷον διαδέξωνται κλῆρον, κἂν ὁθενδήποτε συλλέξωσι τὰ χρήματα. καὶ πάλιν ἀλλαχοῦ λέγει, μὴ ἀποστερήσῃς τὸν ζῶντα τῦ βίου. ὁ δὲ ἁρπαγὴν, τὰ ἀλλότρια ἁρπάζει. ἁρπαγὴ γὰρ λέγεται, ὅταν τὰ ἀλλότρια λαβόντες κατέχωμεν.

Καὶ διὰ τοῦτο τοίνυν παιδεύομαι, ὅτι ὅταν ἐλεημοσυνῶν μὴ παρέχωμεν, ἐν ἴσῳ ἁρπαγῶν κολασόμεθα. δίκαιον γὰρ ἐστι τὰ χρήματα ὁθεν ἂν αὐτὰ συλλέξωμεν· κἂν τοῖς δεομένοις αὐτὰ παρέξωμεν, πολλῆς ἐπιτυγχάνομεν τῆς ἀφθονίας. καὶ διὰ τοῦτό σοι πλείονα ἔχειν συγχωρεῖ ὁ θεός, οὐχ ἵνα εἰς πορνείαν, καὶ μέθην, καὶ ἀδηφαγίαν, καὶ ἱματίων πολυτέλειαν, καὶ τὴν ἄλλην βλακείαν ἀναλώσῃς ἀλλ' ἵνα τοῖς δεομένοις αὐτὰ διανέμῃς.

Καθάπερ γὰρ ὑποδέκτης τις βασιλικὰ δεξάμενος χρήματα καὶ ἀφιεὶς οἷς ἂν κελεύσῃται διανεῖμαι, εἰς οἰκείαν καταναλώσῃ βλακείαν, ἄθυμός δέ ἐστι καὶ, ὀκνοσυλλήπτως οὕτω δὴ καὶ ὁ πλούσιος, ὑποδέκτης ἐστὶν τῶν τοῖς πένησιν ὀφειλομένων χρημάτων διανεμηθῆναι, ἐπιταχθεὶς αὐτὰ διανέμειν τῶν ἑαυτῦ συνδούλων τοῖς πενομένοις.

Α' γ'

Ἂν οὖν πλέον τι τῆς χρείας εἰς ἑαυτὸν ἀναλώσῃ τῆς ἀναγκαίας, χαλεπωτάτας ἐκεῖ δώσῃ τὰς εὐθύνας. ἐν γὰρ ἐστιν αὐτοῦ τὰ αὐτοῦ, ἀλλὰ τῶν σωζομένων τῶν ἑαυτοῦ.

Φειδώμεθα τοίνυν αὐτῶν ὡς ἀλλοτρίων, ἵνα γένηται ἡμέτερα. πῶς δὲ αὐτῶν φεισόμεθα ὡς ἀλλοτρίων ὅταν μὴ εἰς περιττὰς αὐτὰ ἀναλίσκωμεν χρείας, μηδὲ εἰς ἡμετέρας μόνον, ἀλλὰ ταῖς τῶν πενήτων αὐτὰ συμμερίζωμεν χερσίν. κἂν ἄπορος ᾖς, πλέον δέ τι τῆς χρείας ἀναλίσκῃς, λόγον δώσεις τῶν ἐμπιστευθέντων σοι χρημάτων.

Τοῦτο καὶ ὅτι τῶν οἰκιῶν γίνεται τῶν μεγάλων. πολλοὶ γοῦν τὰ ταμεῖα τὰ ἑαυτῶν τοῖς οἰκέταις τοῖς ἑαυτῶν ἐπιστεύσαν· ἀλλ' ὅμως οἱ πιστευθέντες ἐκεῖνοι, φυλάττουσι τὰ δεδομένα, καὶ οὐκ ἀποχρῶνται τοῖς ἐμπιστευθεῖσιν, ἀλλὰ οἷς ἂν ὁ δεσπότης, καὶ ἵνικα κελεύσῃ, διανέμουσι. τοῦτο καὶ σὺ ποίησον. καὶ γὰρ ἔλαβες ἑτέρων πλείονα καὶ ὑπερβέβηκε, οὐχ ἵνα αὐτὰ ἀναλώσῃς μόνος, ἀλλ' ἵνα καὶ ἑτέροις οἰκονόμος γένῃ καλός.

Ἄξιον δὲ καὶ ἐκεῖνο ζητῆσαι τί δήποτε οὐχὶ παρ' ἑτέρῳ δικαίῳ τὸν Λάζαρον ὁρᾷ, ἀλλ' ἐν τοῖς κόλποις εἶδεν τοῦ Ἀβραάμ. φιλόξενος ἦν ὁ Ἀβραάμ. ἵν' οὖν καὶ οὗτος ἔλεγχος αὐτῷ γένηται τῆς μισοξενίας, διὰ τοῦτο αὐτὸν μετ' ἐκείνου βλέπει. ἐκεῖνος γὰρ καὶ τοὺς παριόντας ἐδήρυε, καὶ εἰς τὸν οἶκον εἶλκεν εἴσω τὸν ἑαυτοῦ, ἔξω δὲ καὶ τὸν ἔσω κείμενον παρεώρα, καὶ θησαυρὸν τοσοῦτον εἶχεν, καὶ σωτηρίας ὑπόθεσιν, παρίστηκε καθ' ἡμέραν, καὶ οὐκ ἐχρήσατο εἰς δέον τῇ τοῦ πένητος εὐπορίᾳ.

Ἀλλ' ουχ ὁ πατριάρχης τοιῦτος ἀλλὰ τουναντίον ἅπαν-
πρὸς τῇ θυρᾷ καθήμενος ἐσαγλώσσευε τοὺς παριόντας ἅ-
παντας. καὶ καθάπερ τις ἁλιεὺς ἀμφίβληστρον βάλλων εἰς
τὴν θάλασσαν, ἀναστᾷ μὲν ἰχθυῶ, ἀναστᾷ δὲ καὶ χρυσίον
πολλάκις, καὶ μαργαρίτας· οὕτω δὴ καὶ οὗτος, σαγηνεύων
ἀνθρώπους, ἁλίσκει ποτὲ καὶ ἀγγέλους. καὶ τὸ θαυμαστὸν
τοῦτό ἐστιν, ὅτι μὴ εἰδώς. ὅπερ οὖν καὶ ὁ Παῦλος ἐπλη-
» πτόμβος παραινεῖ καὶ λέγει· τῆ φιλοξενίας μὴ ἐπιλανθάνεσθε·
» διὰ γὰρ ταύτης ἔλαθόν τινες ξενίσαντες ἀγγέλους.

Καλῶς εἶπεν, ἔλαθον. εἰ γὰρ εἰδὼς αὐτοὺς ὑπεδέξα-
το μετὰ τοσαύτης εὐτοίας, εὐδὲν μέγα καὶ θαυμαστὸν ἐποίησεν.
ὁ δὲ πᾶς ἔπαινος, ὅτι ἀγνοῶν τινες οἱ παριόντες ἦσαν, καὶ
ἀνθρώπους αὐτοὺς εἶναι νομίζων ἁπλᾶς οὐσίας, μετὰ το-
σαύτης αὐτοὺς ἔνδον ἐκάλεσε τῆς προθυμίας.

Καὶ σὺ τοίνυν, ἂν μέν τινα περιφανῆ καὶ λαμπρὸν ὑπο-
δεξάμενος, πολλὴν ἐπιδείξῃ τὴν προθυμίαν, θαυμαστὸν
οὐδέν εἰργάσω. εἰ γὰρ αἰσθητὸν τοῦ ξενισθέντος, καὶ τὸν μισόξε-
νον καταναγκάζει πολλάκις πᾶσαν εὔνοιαν ἐπιδείξασθαι·
τὸ δὲ μέγιστον καὶ θαυμαστὸν, ὅταν καὶ τοὺς τυχόντας, καὶ τοὺς
ἀπερρίμμενους, καὶ τοὺς ἀτελεῖς μετὰ πολλῆς δεχώμεθα τῆ
εὐνόιας. διὰ τοῦτο καὶ ὁ χριστὸς τοὺς ποιοῦντας ὕστως ὑπολη-
» χόμενος ἔλεγεν, ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων
» ἐμοὶ ἐποιήσατε. καὶ πάλιν· οὕτω δὲ ἐστὶν θέλημα ἔμ-
» προσθεν τοῦ πατρός μου, ἵνα ἀπόληται εἷς τῶν μικρῶν τού-
» των. καὶ πάλιν, ὃς ἐὰν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων,
» συμφέρει αὐτῷ ἵνα κρεμασθῇ μύλος ὀνικὸς περὶ τὸν τράχη-
» λον αὐτοῦ. καὶ πανταχοῦ πολὺς τῷ χριστῷ τῶν μικρῶν καὶ ἐλα-
χίστων λόγος.

Ὥσπερ οὖν καὶ ὁ Αβραὰμ εἰδὼς, οὐκ ἐξήτασε τοὺς παρ-

εἰόντας

ρώντας ἵνες εἶεν, ἢ πόθεν, καθαίρω ὑμεῖς νῦν· ἀλλ' ἁπλῶς τοὺς παρόντας ὑποδέχετο πάντας. ἡ γὰρ φιλοφροσύνη ὅπου θυμὸν μύρον, οὐ δυθμίας ἀπαιτεῖ τόπου, ἀλλὰ μόνον προθύμου διορθοῦται, καὶ τῷ χρείαν πληροῦται.

Μίαν ἔχει συμπαθείαν ὁ φίλος τῇ ἑνὶ φίλῳ, καὶ τὸ καθεζέσθαι ἐν χρείᾳ, μηδὲν αὐτὸν λοιπὸν ἀπαιτῇ πλέον· ἀλλὰ κἂν ἁπάντων ᾖ πονηρότατος, καὶ τῆς ἀναγκαίας ἀπορῇ τροφῆς, λυπήθη αὐτῇ τὸν λιμόν. οὕτω καὶ ὁ χριστὸς ἐκέλευσε ποιεῖν, λέγων, γίνεσθε ὅμοιοι τῷ πατρὶ ὑμῶν τῷ ἐν τοῖς οὐρανοῖς. ὅτι » τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ » δικαίους καὶ ἀδίκους.

Λιμῷ ἐστιν ἁλῶναι ἐν ἀνάγκῃ ὁ ἐλεήμων. ὁ δὲ λιμῶν τοὺς ναυαγίῳ παρεπεσόντας ἅπαντας ὑποδέχεται, καὶ λύει τὴν κινδύνων· κἂν πονηροὶ, κἂν χρηστοὶ, κἂν ὁπωσοῦν ὦσιν οἱ κινδυνεύσαντες, εἴσω τὴν οἰκείαν αὐτοὺς παραπέμπει κόλπον. καὶ σὺ τοίνυν ὄρεξον ἐπὶ τὴν γῆν τῷ τῆς πενίας ναυαγίῳ παρεπεσόντα τὸν ἄνθρωπον, μὴ δι' κάζου, μηδὲ δυθμίας ἀπαίτει, ἀλλὰ λῦσον τῷ συμφορᾷ.

Τί σαυτῷ παρέχεις πρόφασιν; ἀπήλλαξέ σε πρὸς ἐργείας ἁπάσης καὶ πολυπραγμοσύνης ὁ θεός. πόσα ἐμέλλον πολλοὶ λέγειν, καὶ δυσχεραίνειν, εἰ παρεσκεύαζεν ὁ θεὸς τὸν βίον μετ' ἀκριβείας ἐξετάζειν, τὰ ἀναπρόφλητα τὰ πεπραγμένα ἑκάστῳ παρεργάζεσθαι πρότερον, καὶ τότε ἐλεεῖν· νυνὶ δὲ πάσης τοιαύτης ἀπηλλάξθα δυσκολίας.

Τί οὖν παρεπόμενοι ἐπαπορούμεθα φορτίδας; ἕτερόν ἐστι δικαστὴς, ἕτερον ἐλεήμων. ἐλεημοσύνην τὸ δίδοναι διὰ τοῦτο λέγομεν, ὅτι καὶ τοῖς ἀναξίοις δίδομεν. τοῦτο καὶ Παῦλος παραινεῖ ποιεῖν λέγων· ὑμεῖς δὲ τὸ καλὸν ποιοῦντες μὴ ἐκκακῆτε πρὸς πάντας μᾶλλον δὲ πρὸς τοὺς οἰκείους τῆς »

φίστεως. ἂν τοὺς ἀναξίους περιεργαζώμεθα, καὶ πολυπραγμονῶμεν, οὐδὲ ἄξιοί ποτε ῥαδίως ἐμπιστοσυνῆς ἡμῖν. ἂν δὲ καὶ τοῖς ἀναξίοις παρέχωμεν, πάντως καὶ οἱ ἄξιοι καὶ πάντων ἐκείνων ἀντάξιοι, εἰς τὰς ἡμετέρας ἥξουσι χεῖρας.

Ὥσπερ οὖν καὶ ὅτε τοῦ μακαρίου γέγονεν Ἀβραάμ. ὅς οὐ περιεργαζόμενος, οὐδὲ πολυπραγμονῶν τοὺς παριόντας, ἠξιώθη καὶ ἀγγέλους ὑποδέξασθαί ποτε. τοῦτον καὶ ἡμεῖς ζηλώσωμεν, καὶ μετ' αὐτὸν τὸν ἔγγονον τὸν ἐκείνου τὸν Ἰακώβ· καὶ γὰρ καὶ οὗτος τῷ τοῦ προγόνου μεγαλοψυχίᾳ μετὰ πάσης ἐμιμήσατο τῆς ἀκριβείας· καὶ διὰ τοῦτο ἔλεγεν. ἡ θύρα μου παντὶ ἐλθόντι ἀνέῳκτο. ἐχὶ τῷ δεῖνι μόνῳ ἀνέῳκτο ἑτέρῳ δὲ ἀπεκέκλῃστο, ἀλλὰ πᾶσιν ἁπλῶς ἀνεῖτο.

Οὕτω καὶ ἡμεῖς ποιῶμεν παρακαλῶ, μηδὲν ἀκριβολογούμενοι τοῦ δέοντος· ἀξία γὰρ τοῦ πόντος ἡ χρεία μόνον ἐστίν· κἂν ὁστισοῦν μετὰ ταῦτης ἔλθῃ πρὸς ἡμᾶς ποτέ, μηδὲν περιεργαζώμεθα πλέον. οὐ γὰρ τῷ τρόπῳ παρέχομεν, ἀλλὰ τῷ ἀνθρώπῳ· οὐδὲ διὰ τὴν ἀρετὴν αὐτοῦ, ἀλλὰ διὰ τὴν συμφορὰν ἐλεοῦμεν. ἵνα καὶ αὐτοὶ παρὰ τοῦ δεσπότου τὸν πολὺν ἔλεον ἐπαπασώμεθα, ἵνα καὶ αὐτοὶ ἀνάξιοι ὄντες φιλανθρωπίας ἐπιτύχωμεν.

Εἰ γὰρ μέλλοιμεν τοῦ ἀξίου ἐπιζητεῖν ἐπὶ τῶν συνδούλων τῶν ἡμετέρων, καὶ ἀκριβολογεῖσθαι· τοῦτο καὶ ὁ θεὸς ἐφ' ἡμῶν ἐργάσεται. καὶ ζητοῦντες τοὺς ὁμοδούλους ἀπατῆσαι ἐνθυμούμεθα, αὐτοὶ τῆς ἄνωθεν ἐκπεσούμεθα φιλανθρωπίας. ἐν ᾧ γὰρ κρίματι κρίνετε, κριθήσεσθε φησί.

Ἀλλ' ὅτι τοῦ ὑποθέσεως πάλιν τὸν λόγον ἐπαναγάγωμεν. ἰσθὶ τοίνυν αὐτὸν ἐν τοῖς κόλποις τοῦ Ἀβραὰμ

φησὶν

φησὶν, πάτερ Ἀβραὰμ πέμψον Λάζαρον.

Τινὸς ἕνεκεν οὐχὶ πρὸς τὸν Λάζαρον τὸν λόγον ἀπέστειλεν; ἐμοὶ δοκεῖ ὅτι ἰσχυρὸν καὶ ἐρυθρία, ἢ τάχα καὶ ἐκ τῆς κατ' αὐτὸν πραγμάτων, ἐνόμιζεν αὐτὸν μνησικακήσειν πάντως. εἰ γὰρ ἐγὼ, φησὶ, τοσαύτης ἀπολαύων ἀφθονίας, καὶ οὐδεμίαν ἐπιδεικνύμενος, ἐν τοσούτοις ὄντα κακοῖς ἰδὼν εἶδον τὸν ἄνθρωπον, καὶ οὐδὲ ψιχίων μετέδωκα, πολλῷ μᾶλλον αὐτὸς ὁ οὕτως ὑπερφθεὶς, ἐκ ὀπινύσῃ τῇ χάριτι.

Ταῦτα μὲν τῷ Λαζάρου κατηγορῶν τὸν λογισμὸν, οὐ γὰρ δὴ οὕτως ἐκεῖνος διέκειτο, μὴ γένοιτο· ἀλλὰ ὅτι οὕτως ταῦτα διαβολικὸς, ἐκ ἐκάλεσεν ἐκεῖνον, ἀλλὰ τὸν Ἀβραὰμ ἐφώνησεν, ὃν ἀγνοεῖν ᾤετο τὰ γεγενημένα· καὶ τὸ δάκτυλον ἐπιζήτησεν ἐκεῖνον, ὃν ταῖς γλώσσαις τῶν κυνῶν ἀφῆκε περιλειχθῆναι πολλάκις.

Τί οὖν ἐκεῖνος. τέκνον, ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου. ὅρα φιλοσοφίαν, ὅρα φιλοστοργίαν δικαίου. ἐκ εἶπεν, ἀπάνθρωπε καὶ ἀμὲ, καὶ παμπόνηρε, τοσαῦτα κακὰ διαθεὶς τὸν ἄνθρωπον, φιλανθρωπίας μέμνησαι νῦν καὶ ἐλέου καὶ συμπαθείας; ἐκ ἐρυθριᾷς, οὐδὲ αἰσχύνῃ; ἀλλὰ τί; τέκνον ἀπέλαβες τὰ ἀγαθά σου. ψυχὴ γὰρ κακοχωρήμων μὴ προσταραχῇς, φησὶν. ἀρκεῖ τὰ τῆς ἰδιωτείας αὐτῷ· μὴ προσεπεμβαίνωμεν αὐτοῦ ταῖς συμφοραῖς. ἄλλως δὲ, καὶ ἵνα μὴ νομίσῃ ὅτι μνησικακῶν ὑπὲρ τῶν παρελθόντων ἐκάλυσεν ἀπελθεῖν τὸν Λάζαρον, τέκνον αὐτὸν καλεῖ, μόνον ἐκ ὑπὲρ ἑαυτῶν διὰ τῆς προσηγορίας ἀπολογούμενος. οὐ κύριος εἰμὶ μεταδίδωμι, τὸ ἦ ἐντεῦθεν ἀπελθεῖν ἐκεῖ, ἐκ ἔστιν ἡμέτερον· λοιπὸν, ἀπέλαβες τὰ ἀγαθά σου. καὶ διὰ τί ἐκ εἶπεν ἔλαβες, ἀλλὰ ἀπέλαβες.

Πολὺ πέλαγος ἐντεῦθεν ἡμῖν νοημάτων ὀρθῶς ἀνοιγόμενον. διὸ δὴ πάντα τὰ εἰρημένα μὴ ἀκριβείας φυλάξαντες λάτε νῦν, τά τε ποθὲν ποτε θέντα, μὴ ἀσφαλείας ἀπάσης ὑπερθώμεθα, καὶ πρὸς τὴν μελλόντων ῥᾳθυμίαν ἀκρόασιν ἐκ τῶν εἰρημένων ἑπτὰ θησαυροὺς ἑαυτοὺς κατασκευάσαντες. καὶ εἰ μὲν δυνατὸν ὑμῖν γένοιτο, πάντων μοι μνημονεύετε, εἰ δὲ μὴ δυνατὸν πάντα, ἀντὶ πάντων ἐκεῖνο παρακαλῶ μέμνησθε δικαίως, ὅτι τὸ μὴ μεταδιδόναι πένησιν ἐκ τῶν ἰδίων χρημάτων ἁρπαγὴ πενήτων ἐστὶ καὶ ἀποστέρησις τῆς ἐκείνων ζωῆς· καὶ οὐ τὰ ἡμέτερα, ἀλλὰ τὰ ἐκείνων κατέχομεν.

Ἂν γὰρ οὕτως ὦμεν διακείμενοι, πάντως ποθησόμεθα τὰ χρήματα· καὶ πολλὰ μὲν ἐνταῦθα τρέψαντες τὸ χρυσίον ἐνταῦθα, καὶ πολλὴν ἐκεῖ τοῦ ἐμπορίου ἀποθέμενοι, ἀπολαύσομεθα τῆς μελλόντων ὄντως τυχεῖν ἀγαθῶν. ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· μεθ' οὗ, τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, τιμὴ, κράτος, νῦν καὶ ἀεὶ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

Ιωάννου Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τῦ Χρυσοστόμου, εἰς τὸν Λάζαρον λόγος τρίτος, καὶ τίνος ἕνεκεν ὁ κύριος εἶπεν ἔλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου ἀλλ' ἀπέλαβες, καὶ διὰ τί οἱ μὲν δίκαιοι κινδυνώδεις πολλάκις ἀφεστήκασιν, οἱ δὲ ἁμαρτωλοὶ τούτους διαφεύγουσιν.

* * *

Ὁ τὰ τυχόντα ἡμᾶς ὠφελῆσαι ἡ περὶ τὸν Λάζαρον παραβολὴ, καὶ πλουσίους καὶ πένητας. τοὺς μὲν εὐκόλως φέρειν τὴν πενίαν παιδεύσασα, τοὺς δὲ ἐκ ἀφιεῖσα μεγαφρονεῖν ὅτι τῷ πλούτῳ· ἀλλὰ δι' αὐτῶν τῶν ἔργων διδάξασα, ὅτι πάντων ἐλεεινότερος ὁ τρυφῇ συζῶν, καὶ μηδενὶ τῶν ὄντων μεταδιδούς.

Φέρε οὖν καὶ σήμερον τῆς αὐλῆς πάλιν ἀψώμεθα ὑποθέσεως. ἐπεὶ καὶ οἱ τὰ μέταλλα ἐργαζόμενοι, ἔνθα ἂν ἴδωσι πολλὰς τῦ χρυσίου τὰς ἵνας, ἐκεῖ διασκάπτουσι πάλιν, καὶ ἐκ ἀφίστανται πρότερον, ἕως ἂν ἅπαν τὸ φαινόμενον ἐξαντλήσωσιν.

Ἐπανίωμεν τοίνυν, ἔνθα τῆς χθὲς κατελείπομεν τὸν λόγον, ἵνα ἐκεῖθεν αὐτὸν ἀναλάβωμεθα. ἐνῆν μὲν γὰρ καὶ ἐν ἡμέρᾳ μιᾷ πᾶσαν ὑμῖν ταύτην ἐξαπλῶσαι τὴν παραβολήν· ἀλλ' οὐχ ὅπως πολλὰ εἰπόντες ἀπέλθωμεν, τοῦτο ἐσπουδάκαμεν, ἀλλ' ὅπως μετ' ἀκριβείας τὰ λεχθέντα διεξάμενοι καὶ κατασχόντες, λάβοιτέ τινα ἀπὸ τῆς φυλακῆς ταύτης ὠφελείας πνευματικῆς.

Καὶ γὰρ μήτηρ φιλόσοφος μέλλουσα ὅπλα στρατιώτου τὸ γαλακτοτροφούμενον παιδίον ἄγειν τροφήν, ἂν μὲν ἀθρόον ἐγ-

χέη τῷ στόματι τὸ ἄκρατον οὐδεὶς ὀνίνησιν ἀποκλύζοντες τὸ παιδίου τὸ διδόμενον, καὶ διαῤῥήξαντος περὶ τῷ στήθει τὸν χιτωνίσκον· ἂν δὲ ἠρέμα, καὶ κατὰ μικρὸν ἐγχέῃ, παραπέμπει τὸ δοθὲν ἀλύπως.

Ἵν' οὖν καὶ ὑμεῖς τὸ δοθὲν μὴ ἀποκλύσητε, ἅπαν αἴθριον ὑμῖν ἐποικλίναμεν τὸ τῆς διδασκαλίας ποτήριον, ἀλλ' εἰς πολλὰς αὐτὸ κατεκερματίσαμεν ἡμέρας· τὰς μεταξὺ ταύτας ἡμέρας διαναπαύσεως παρεχόντες ὑμῖν ἐκ τοῦ τ' ἐκφοίσεως πόνου, ἵνα καὶ τὰ καταβληθέντα παρῇ μετ' ἀσφαλείας τῇ διανοίᾳ τὰ ὑμετέρας ἀγάπης, καὶ τὰ ῥηθήσεσθαι μέλλοντα ἀνεμπόδιστα καὶ ἀκμαζόσῃ δέξηται τῇ ψυχῇ.

Διὰ τοῦτο καὶ τὴν ὑποθεσιν τῶν μέλλοντων ῥηθήσεσθαι πολλάκις ὑμῖν προλέγομεν πρὸ πολλῶν τῶν ἡμερῶν, ἵνα ἐν τῷ μεταξὺ ταύταις ἡμέραις τὸ βιβλίον λαβόντες καὶ τὴν ἀκολουθίαν ἅπασαν ὁπόντες καὶ καταμαθόντες, τί μὲν εἴρηται, τί δὲ ὑπολέλειπται, δυνατωτέραν ὑμῶν ποιήσατε τὴν διάνοιαν πρὸς τὴν ἀκρόασιν τῶν μετὰ ῥηθησομένων.

Καὶ τοῦτο ἀεὶ παρακαλῶ, καὶ παρακαλῶν οὐ παύσομαι, ἵνα μὴ μόνον ἐνταῦθα τοῖς λεγομένοις προσέχητε ἀλλὰ καὶ οἴκοι γινόμενοι, τὴν τῶν θείων γραφῶν ἀναγνῶσιν συνεχῶς ἐνδιατρίβητε. τοῦτο καὶ τοῖς ἰδίοις συγγινομένοις ὑμῖν οὐ διέλιπον ἀεὶ παραινῶν.

Μὴ γάρ μοι λεγέτω τις τὰ ψυχρὰ ῥήματα ἐκεῖνα, καὶ πολλῆς καταγνώσεως ἄξια, ὅτι δικαστηρίῳ προσήλαμεν, τὰ τῆς πόλεως προστάγματα, τέχνην μετέρχομαι, γυναῖκα ἔχω, παιδία τρέφω, οἰκίας προΐσταμαι, βιωτικὸς ἀνὴρ εἰμί· οὐκ ἔστιν ἐμὸν γραφὰς ἀναγινώσκειν, ἀλλ' ἐκείνων τῶν ἀποταξαμένων ἐστί, τῶν τὰς κορυφὰς τῶν ὀρέων κατειληφότων, τῶν τὸν βίον ἐχόντων ἀγγελικόν.

Τί λέγῃς ἄνθρωπε; οὐκ ἔστι σὸν ἔργον γραφαῖς ἐφεσίχειν, ἐπειδὴ μυρίαις ὠφέλκηι φροντίσιν; σὸν μὴ ὅσω μᾶλλόν ἐστιν, ἢ ἐμῶν. οὐ γὰρ οὕτως ἐκεῖνοι χρήζυσι τ' ἀπὸ τῆς θείων γραφῶν βοηθείας, ὡς οἱ ἐν μέσῳ σκυβάλοις ἁλισμάτων πολλῶν.

Οἱ μὲν γὰρ μοναχοὶ, τ' ἀλογίας, καὶ τῆς ἐκ τ' ἀλογίας ἀπαλλαγέντες θορύβων, καὶ τὰς καλύβας ἐν ἐρημίᾳ πηξάμενοι, ὠθὸς οὐδένα κοινὸν οὐδὲν ἔχοντες, ἀλλ' ἀμφιλοσοφοῦντες μετ' ἀσφαλείας, τῇ τ' ἡσυχίας ἐκείνης γαλήνῃ, καθάπερ ἐν λιμένι καθήμενοι, πολλῆς τ' ἀσφαλείας ἀπολαύουσιν. ἡμεῖς δὲ οἱ καθάπερ ἐν μέσῳ πελάγει σαλευόμενοι καὶ μυρίων ἁμαρτημάτων ἀνάγκας ἔχοντες, σωρηδὸν καὶ διηνεκῶς ἀεὶ σκόμβθα τ' ἀπὸ τῆς γραφῶν παρακλήσεως.

Ἐκεῖνοι πόρρω τῆς μάχης καθήνται, διόπερ οὐδὲ πολλὰ δέχονται τραύματα. σὺ δὲ διηνεκῶς ὅπλα τ' παρατάξεως ἔσηκας· καὶ συνεχεῖς δέχῃ τὰς πληγάς. διὸ καὶ πλειόνων σοι δεῖ τῆς φαρμάκων.

Καὶ γὰρ γυνὴ καὶ υἱὸς λυπεῖ, καὶ οἰκέτης εἰς ὀργὴν ἐμβάλλει, καὶ ἐχθρὸς ὑποβουλεύει, καὶ φίλος ἐασκαίνει, καὶ γείτων ἐπηρεάζει, καὶ συνεχπώτης ὑποσκελίζει, πολλάκις καὶ δικαστὴς ἀπειλεῖ, καὶ πενία λυπεῖ, καὶ ἀσχολὴ τῆς οἰκείων πένθος ἐργάζεται, καὶ δυσημερία φυσᾷ καὶ δυσπραγία συστέλλει. καὶ πολλαὶ μὲν ὀργῆς, πολλαὶ δὲ φροντίδων, πολλαὶ δὲ ἀθυμίας καὶ λύπης, πολλαὶ δὲ κενοδοξίας καὶ ἀπονοίας ἀφορμαὶ καὶ ἀνάγκη πάντοθεν ἡμᾶς περιστοιχίζουσι, καὶ μυρία παντα χόθεν τὰ βέλη φέρει. διὸ τ' ἀπὸ τῆς γραφῶν παυοπλίας χρεία διηνεκῶς.

Ἐπίγνωθι γὰρ, φησὶν, ὅτι ἐν μέσῳ παγίδων διαβαίνεις καὶ ὅτι ἐπάλξεων πέλας περιπατεῖς. καὶ γὰρ αἱ τ' σαρκὸς ἐπιθυμίαι, χαλεπώτερον τῆς ἐν μέσῳ φαρμάκων καὶ ἐξαπίσανης

καὶ

καὶ γὰρ καὶ ὄψις ἁπτική, καὶ σῶμα λαμπρὸν διὰ τῆς ὀφθαλμοῦ ἔβαλεν, καὶ ῥῆμα αἰσχρὸν διὰ τῆς ἀκοῆς εἰσελθὸν ἐθορύβησεν λιμοῦ τὸ λογισμόν, πολλάκις καὶ μέλος κατακλασμοῦν, τὸ τῆς ψυχῆς ἔντονον κατεμάλαξεν.

Καὶ τί λέγω ταῦτα; τὸ γὰρ πάντων τούτων ἀνυπόστατον ἔφη πολλάκις δακνῶν, μύρων ἐσμὴ ἀφανισθὲν πόθεν παρὰ γυναικῶν ἑταιριζομένων ἐν τῇ παρόδῳ, λαθοῦσα ἀπῆλθεν αἰχμάλωτον ἀπὸ ψυχῆς τῆς σωτηρίας.

Καὶ πολλὰ τοιαῦτά ἐστι τὰ πολιορκοῦντα τὴν ἡμετέραν ψυχήν, καὶ δεῖ τῆς θείων φαρμάκων λιμῆνος, ἵνα καὶ τὰ γινόμενα ἕλκη θεραπεύωμεν, καὶ τὰ μηδέπω γινόμενα, μέλλοντα δὲ γίνεσθαι, ἀφανιζώμεθα· ἀόρατον τὸν διαβόλου τὰ βέλη κατασβεννύντες, καὶ ἀποκρυόμενοι διὰ τῆς συνεχοῦς τῆς θείων γραφῶν ἀναγνώσεως.

Οὐ γὰρ ἔστιν ὅπως ἔστιν τινα σωθῆναι, μὴ συνεχῶς ἀναγνώσεως ἀπολαύοντα πνευματικῆς. ἀλλ' ἀγαπητὸν ὄντως, εἰ καὶ διηνεκοῦς ταύτης ἀπολαύοντες τῆς θεραπείας, δυνηθείημεν σωθῆναι ποτέ.

Ὅταν γὰρ καθ' ἑκάστην μὴ πληττώμεθα τὴν ἡμέραν, ἰατρείας δὲ μηδεμιᾶς ἀπολαύωμεν, ποία σωτηρίας ἐλπίς;

Οὐχ ὁρᾷς τοὺς χαλκοτύπους, τοὺς χρυσοχόους, τοὺς ἀργυροκόπους, τοὺς ἡντιναοῦν μετιόντας τέχνην, ἅπαντα τῆς τέχνης ἔχοντας ἀπηρτισμένα τὰ ἐργαλεῖα; Κἂν λιμὸς ἀναζήσῃ, κἂν πενία θλίβῃ, πάντα ἱερωμμένους ὑπομεῖναι μᾶλλον, ἢ τῆς τέχνης ὀργάνων ἀποδόσθαι τι καὶ διατρέφῆναι. πολλοὶ γοῦν πολλάκις δανεισάσθαι μᾶλλον εἵλοντο καὶ διαδρέψαι καὶ τὴν οἰκίαν, καὶ τὰ παιδία, ἢ τῆς τέχνης ἐργαλείων, κἂν τὸ μικρότατον, ἀπασθῆναι. καὶ μάλα γε εἰκότως.

Ἴσασι γὰρ ὅτι φερόντων ἐκείνων ἄχρηστα τὰ τῆς τέχνης

αὐ-

αὐτοῖς ἅπαντα, καὶ ἡ τῆς πορείας ὑπόθεσις ἀνήρπαται πᾶσα. ἐκείνων μὲν γὰρ μενόντων, ῥᾳστόν τὰ γενόμενα δανείσματα χρόνῳ ποτὲ διαλύσασθαι, τῇ τέχνῃ σωτηρίως χρησαμένους. Εἰ δὲ φθάσαντες ἐτέροις αὐτὰ ἀποδοῖεν οὐδεμίαν ἐκέτι παρασχωμεθα τῇ πενίᾳ καὶ τῷ λιμῷ ποθὲν ὀλισθῆσαι δυνήσονται. Οὕτως ἔν καὶ ἡμᾶς διακεῖσθαι χρή.

Καθάπερ γὰρ ἐκείνοις ἐργαλεῖα τῆς τέχνης ἐστὶ σφῦρα, καὶ ἄκμων, καὶ πυράγρα· οὕτω δὴ καὶ ἡμῖν ἐργαλεῖα τῆς τέχνης ἐστὶν, ἀποστολικὴ καὶ προφητικὴ βιβλία, καὶ πᾶσα γραφὴ θεόπνευστος.

Καὶ καθάπερ ἐκεῖνοι δι' ἐκείνων τὰ σκεύη πάντα, ἂν ἄρα ἂν λάβωσι μεταπλάττουσιν· οὕτω δὴ καὶ ἡμεῖς διὰ τούτων τὴν ψυχὴν τὴν ἡμετέραν χαλκεύομεν, καὶ διεσφυρηλατημένην διορθούμεθα, καὶ παλαιωθεῖσαν ἀνανεούμεθα. καὶ ἐκεῖνοι μὲν μέχρι τῆς ὄψεως τῶν ἑαυτῶν ἐπιδείκνυνται τέχνης, οὐ γὰρ δὴ τῶν ὕλην τῆς σκευασίας μεταβαλεῖν δύνανται ἂν, οὐδὲ τὸν ἄργυρον ποιῆσαι χρυσὸν, ἀλλὰ τοὺς τύπους αὐτῶν μεταρρυθμίζουσι μόνον. σὺ δὲ οὐχ οὕτως. ἀλλ' ἔχεις τι πλέον ἐκείνων, καὶ ξύλινον σκεῦος λαβὼν, δύνασαι ποτε χρυσοῦν ποιῆσαι. καὶ τοῦτο μάρτυς ὁ Παῦλος οὕτω λέγων· ἐν μεγάλῃ οἰκίᾳ, οὐκ ἔστι μόνον σκεῦη χρυσᾶ καὶ ἀργυρᾶ, ἀλλὰ καὶ ξύλινα, καὶ ὀστράκινα. ἐάν τις οὖν ἐκκαθάρῃ ἑαυτὸν ἀπὸ τούτων, ἔσται σκεῦος εἰς τιμὴν ἡγιασμένον, καὶ εὔχρηστον τῷ δεσπότῃ εἰς πᾶν ἔργον ἀγαθὸν ἡτοιμασμένον.

Μὴ τοίνυν ἀμελῶμεν τῆς κλήσεως τῆς βιβλίων, ἵνα μὴ σβεσθῇ τὰ καίρια δεξάμενα τὴν πληγήν. μηδὲ χρυσίον καταρύπωμεν, ἀλλὰ βιβλία θησαυρίζωμεν ἑαυτοῖς πνευματικά.

Τὸ μὲν γὰρ χρυσίον ὅταν γένηται πλέον, τότε μάλιστα ἐπιβουλεύεται τοῖς κεκτημένοις· τὰ δὲ βιβλία ἀποκείμενα, πολὺν ἂν παρέχοι τοῖς ἔχουσι τὸν ὠφέλειαν.

Ὥσπερ

Ὥσπερ γὰρ ἔνδοθεν ἂν ἡ ἀποκείμενα ὅπλα βασιλικὰ, κἂν μηδεὶς ᾖ ὁ κεχρημένος πολλὴν παρέχει τοῖς ἔνδον οἰκοῦσι τὴν φυλακὴν, οὔτε λῃστῶν, οὔτε τοιχωρύχων, οὔτε ἄλλου τινὸς τῶν κακούργων τολμᾶν τοὺς ὑπερβῆναι τὰς οἰκίας· οὕτως ἔνθα ἂν ᾖ βιβλία πνευματικὰ, πᾶσα ἐκεῖθεν ἐλαύνει ἐνέργεια διαβολικὴ, καὶ πολλὴ τοῖς οἰκοῦσιν ἀρετῆς παρέκκλησις γίνεται. καὶ αὐτὴ γὰρ καθ' ἑαυτὴν τῶν βιβλίων ἡ ὄψις, ὀκνηροτέρους ἡμᾶς πρὸς τὴν ἁμαρτίαν ἐργάζεται.

Ἂν τι γὰρ τολμήσωμέν τι τῶν ἀπηγορευμένων, καὶ ἀκηδιάσαντες ἑαυτοὺς ἐρεθίσωμεν, ἐπανιόντες οἴκαδε καὶ τὰ βιβλία ὁρῶντες, μᾶλλον ἡμῶν καταδικάζομεν τὸ σωφρονοῦν καὶ πρὸς τὸ τοῖς αὐτοῖς πείθεσθαι ὀκνηρότεροι γινόμεθα. ἂν τε πάλιν εἰς ἀγωνίαν διατελῶμεν, πλείονα ἐκεῖθεν λαμβάνομεν τὴν ὠφέλειαν.

Ἅμα γὰρ ἥψατό τις θυαγγελίου, καὶ μετερίθμισεν ἑαυτὸν τῇ διανοίᾳ, θυθέως, καὶ τῶν βιωτικῶν ἀπέζησε, καὶ ἀπὸ τῆς ὄψεως μόνης αὐτῆς. εἰ δὲ καὶ ἀνάγνωσις προσγένηται ἀκριβὴς, καθάπερ ἐν ἱεροῖς ἀδύτοις ἡ ψυχὴ τελουμένη, οὕτως ἐκκαθαίρεται καὶ βελτίων γίνεται τοῦ θεοῦ ὁμιλοῦντος αὐτῇ διὰ τῶν γραμμάτων ἐκείνων.

Τί οὖν ἂν μὴ εἰδῶμεν τὰ ἐγκείμενα, φησί; μᾶλλον μὲν καὶ μὴ εἰδῇς τὰ ἐγκείμενα ἀπ' αὐτῆς τῆς ἀναγνώσεως πολὺς ὁ ἁγιασμὸς γίνεται. ἄλλως δὲ ἀδιώατον πάντα ὅπισθεν ἀγνοεῖν. διὰ γοῦν τοῦτο ἡ τοῦ πνεύματος οἰκονόμησεν χεῖρας τελώνας, καὶ ἁλιέας, καὶ σκηνοποιοὺς καὶ ποιμένας, καὶ ἀποστόλους, καὶ ἰδιώτας καὶ ἀγραμμάτους ταῦτα συνθεῖναι τὰ βιβλία, ἵνα μηδεὶς τῶν ἰδιωτῶν εἰς ταύτην ἔχῃ καταφεύγειν τὴν πρόφασιν, ἵνα πᾶσιν θυσιώδη ᾖ τὰ λεγόμενα· ἵνα καὶ ὁ χειροτέχνης, καὶ οἰκέτης καὶ ἡ χή-

ρα

ρα γινὴ, καὶ ὁ πάντων ἀνθρώπων ἀμαθέστατος, καρδίαν τε καὶ ὠφεληθῇ παρὰ τῆς ἀκροάσεως.

Οὐ γὰρ πρὸς κενοδοξίαν καθάπερ οἱ ἔξωθεν, ἀλλὰ πρὸς τὴν σωτηρίαν τῶν ἀκουόντων ταῦτα πάντα συνέθηκαν οἱ παρὰ τὴν ἀρχὴν καταξιωθέντες τῆς τοῦ πνεύματος χάριτος.

Οἱ μὲν γὰρ ἔξωθεν φιλόσοφοι, καὶ ῥήτορες καὶ συγγραφεῖς οὐ τὸ κοινῇ συμφέρον ζητοῦντες, ἀλλ' ὅπως αὐτοὶ θαυμασθεῖεν μόνον σκοποῦντες, εἴ τι καὶ χρήσιμον εἶπον, καὶ τοῦτο καθάπερ ἐν ζόφῳ τινὶ τῇ τῆς συνθήκης ἀσαφείᾳ κατέκρυψαν. οἱ δὲ Ἀπόστολοι καὶ οἱ προφῆται τοὐναντίον ἅπαν ἐποίησαν, σαφῆ γὰρ καὶ δῆλα τὰ παρὰ αὐτῶν κατέχρησαν ἅπασιν, ἅτε κοινοὶ τῆς οἰκουμένης ὄντες διδάσκαλοι, ἵνα ἕκαστος καὶ δι' ἑαυτοῦ μανθάνειν δύνηται ἐκ τῆς ἀναγνώσεως μόνης τὰ λεγόμενα.

Καὶ τοῦτο προαναφωνῶν ὁ προφήτης ἔλεγεν· Ἔσονται πάντες διδακτοὶ θεοῦ, καὶ οὐ μὴ εἴπῃ ἕκαστος τὸν πλησίον αὐτοῦ, γνῶθι τὸν κύριον, ὅτι πάντες εἰδήσουσί με ἀπὸ μικροῦ, ἕως μεγάλου αὐτῶν. καὶ ὁ Παῦλος φησὶ. κἀγὼ ἀδελφοὶ ἦλθον πρὸς ὑμᾶς, οὐ καθ' ὑπεροχὴν λόγου, ἢ σοφίας, καταγγέλλων ὑμῖν τὸ μυστήριον τοῦ θεοῦ. καὶ πάλιν. ὁ λόγος μου καὶ τὸ κήρυγμά μου, οὐκ ἐν πειθοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' ἐν ἀποδείξει πνεύματος καὶ δυνάμεως. καὶ πάλιν· λαλοῦμεν γὰρ σοφίαν, φησὶν, ἐν τοῖς αἰῶσιν τούτου, οὐδὲ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου τῶν καταργουμένων.

Τίνι γὰρ οὐκ ἔστι δῆλα τὰ τῆς εὐαγγελίου ἅπαντα. τίς δὲ ἀκούων ὅτι μακάριοι οἱ πτωχοὶ, μακάριοι οἱ ἐλεήμονες μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, καὶ ὅσα τοιαῦτα, διδασκάλου δεήσεται ὥστε μαθεῖν τὸ λεγόμενον.

Ἀλλὰ τὰ τῆς σημείων, καὶ θαυμάτων καὶ ἱστοριῶν οὐχὶ καὶ τῶν

τυχόντων

τυχόντι γνώρισμα καὶ σαφῆ. σκῆψις ταῦτα καὶ πρόφασις καὶ ναθείας παροχηγλύμματα· οὐ νοεῖς τὰ ἐγκείμενα; πῶς γὰρ ἐδύνησο ποῆσαί ποτε, μηδὲ ἁπλῶς ἐγκύψαι βουλόμενος;

Λάβε μοι χεῖρας τὸ βιβλίον. ἀνάγνωθι τὴν ἱστορίαν ἅπασαν, καὶ τὰ γνώριμα καταλαβών, τὰ ἄδηλα καὶ τὰ ἀσαφῆ πολλάκις ἐπέλθε. κἂν μὴ δύνηθῇς τῇ συνεχείᾳ τῆς ἀναγνώσεως εὑρεῖν τὸ λεγόμενον, βάδισον πρὸς τὸν σοφώτερον, ἐλθὲ πρὸς τὸν διδάσκαλον, ἀνακοίνωσαι περὶ τῶν εἰρημένων, πολλὴν ἐπίδειξαι τὴν σπουδήν. κἂν ἴδῃ σε ὁ θεὸς πόσῃ σπουδῇ κεχρημένον τῇ προθυμίᾳ, οὐ περιόψεταί σου τὴν ἀγρυπνίαν καὶ τὴν φροντίδα· ἀλλὰ κἂν ἄνθρωπος μὴ διδάξῃ τὸ ζητούμενον, αὐτὸς ἀποκαλύψει πάντας.

Ἀναμνήσθητι τῆς εὐνούχε τῆς Βασιλίδος Αἰθιόπων, ὃς ἄνθρωπος βάρβαρος ὢν, καὶ μυρίαις σωνεχόμενος φροντίσιν, καὶ παντα χόθεν πολλοῖς περικυκλούμενος πράγμασιν, ὡς εἰδὼς ἅπερ ἀνεγίνωσκεν, ἀνεγίνωσκεν ὅμως ἐπὶ τοῦ ὀχήματος καθήμενος.

Εἰ δὲ ἐν ᾧδῇ τοσαύτην σπουδὴν ἐπεδείκνυτο, ἐπόησεν ἂν οὐκ οἶδα διαβίβλον. εἰ τὸν καιρὸν τῆς ὁδοιπορίας οὐκ ἠνείχετο χωρὶς ἀναγνώσεως μένειν, πολλῷ μᾶλλον ἐν τῇ οἰκίᾳ καθήμενος. εἰ μηδὲν εἰδὼς ὧν ἀνεγίνωσκεν οὐκ ἀφίστατο τῆς ἀναγνώσεως, πολλῷ μᾶλλον μετὰ τὸ μαθεῖν.

Ὅπῃ γὰρ ἅπερ ἀνεγίνωσκεν οὐκ οἶδεν, ἄκουσον τί φησιν αὐτῷ ὁ Φίλιππος· ἆρα γε γινώσκεις ἃ ἀναγινώσκεις; κἀκεῖνος ταῦτα ἀκούσας οὐκ ἠρυθρίασεν, οὐδὲ ἠχθέσθη, ἀλλ' ὡμολόγησε τὴν ἄγνοιαν, καὶ φησίν. πῶς γὰρ ἂν δυναίμην, ἐὰν μή τις ὁδηγήσῃ με;

Εἰπεῖν ἔν ἰσθι πῶν τὸν ὁδηγοῦντα ἔχων, οὕτως ἀνεγίνωσκεν, διὰ τοῦτο ταχέως ἐπελάβετο τοῦ χειραγωγοῦντος.

εἶδεν

εἶδεν αὐτοῦ τὴν προθυμίαν ὁ θεὸς, ἀπεδέξατο τὴν ἀσυνδήτην, καὶ ἔπεμψεν αὐτῷ διδάσκαλον ἰνδιάνον. ἀλλ' οὐ πάρεστι ὁ φίλιππος γυμῶ. ἀλλὰ τὸ πνεῦμα τὸ κινῆσαν τὸν φίλιππον πάρεστι.

Μὴ καταφρονῶμεν τῆς σωτηρίας ἡμῶν, ἀγαπητοὶ, ταῦτα πάντα ἐγράφη δι' ἡμᾶς, πρὸς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησεν.

Μεγάλη ἀσφάλεια πρὸς τὸ μὴ ἁμαρτάνειν τῶν γραφῶν, ἡ ἀνάγνωσις. μέγας κρημνὸς καὶ βάραθρον βαθὺ τῶν γραφῶν ἡ ἄγνοια. μεγάλη προδοσία σωτηρίας τὸ μηδὲν ἀπὸ τῶν θείων εἰδέναι νόμων. τοῦτο καὶ αἱρέσεις ἔτεκε, τοῦτο καὶ βίον διαφθαρμένον εἰσήγαγεν, τοῦτο τὰ ἄνω κάτω πεποίηκεν.

Ἀμήχανον γὰρ, ἀμήχανον ἄκαρπον ἀναχωρῆσαί τινα σωτηρίας ἀναγνώσεως ἀπολαύοντα μὴ ὠφεληθέντα.

Ἰδὲ γὰρ μία παραβολὴ πόσα ἡμᾶς ὠφέλησε, πῶς ἡμῶν βελτίω τὴν ψυχὴν εἰργάσατο. πολλοὶ μὲν γὰρ ἴσως διὰ τοῦτο τῆς ὠφελείας ἐκ τῆς ἀκροάσεως λαβόντες ἀπῆλθον. εἰ δέ εἰσί τινες οἱ μὴ τοσοῦτον ἐκαρπώσαντο, ἀλλ' ὅμως τῆς ἴσως ἡμέρας αὐτῶν κατ' ἣν ἤκουσαν, βελτίους ἐγένοντο πάντως.

Οὐ μικρὸν δὲ καὶ τὸ ἡμέρας μίαν ἐν ἁμαρτημάτων κατανύξει διαγαγεῖν, καὶ διαβλέψαι πρὸς τὴν ἄνω φιλοσοφίαν, καὶ παρασχεῖν τῇ ψυχῇ μικρὸν γοῦν ἀπὸ τῆς βιοτικῶν ἀναπαύσεως φροντίδων. ἂν δὲ καθ' ἑκάστην τοῦτο ποιῶμεν σωφρόνως, καὶ μὴ διαλιμπάνωμεν, ἡ συνέχεια τῆς ἀκροάσεως ἐργάσεταί τι μέγα καὶ γενναῖον ἐν ἡμῖν ἀγαθόν.

Φέρε οὖν καὶ τὰ ἑξῆς πάλιν ἀποδῶμεν ὑμῖν τῆς παραβολῆς. τίνα δέ ἐστι τὰ ἑξῆς; Εἰπόντος τοῦ πλουσίου, πέμψον Λάζαρον, ἵνα ἐπιτάξῃ τῷ ἄκρῳ τοῦ δακτύλου αὐτοῦ καὶ καταψύξῃ μου τὴν γλῶτταν, ἀκούσωμέν τί φησιν Ἀβραάμ. τίκ-

» νον μνήσθητι ὅτι ἀπέλαβες τὰ ἀγαθά σε ἐν τῇ ζωῇ σε, καὶ
» Λάζαρος τὰ κακὰ, κ) νεῦ ὄντος παρακαλεῖται, σὺ δὲ ὀ-
» δυνᾶσαι· κ) δὴ πᾶσι δὲ τούτοις, χάσμα μέγα μεταξὺ
» ἡμῶν τὲ κ) ὑμῶν ἐστήρικται, ὅπως οἱ θέλοντες ἐκεῖθεν διαβῆναι πρὸς ἡμᾶς μὴ δυνάνται, μήτε οἱ ἐντεῦθεν ἐκεῖ διαπερᾶσιν.

Φορτικὰ τὰ εἰρημένα, κ) πολλῶν ἡμῶν κατέχειν τὴν ὀδυνήν· οἶδα κἀγὼ. ἀλλ' ὅσον δάκνει τὸ σωτικὸς, τοσοῦτον ὠφελεῖ τὴν διάνοιαν τῆ δακνομένων. εἰ μὴ γὰρ ἐκεῖ ταῦτα ἐλέγετο ἡμῖν, καθάπερ τῷ πλουσίῳ, ὄντως θρηνεῖν ἔδει, κ) ὀλύρεσθαι, κ) πενθεῖν, ὅτι μετανοίας καιρὸς ἔτι ἡμῖν ὑπολέλειπται· ἐπειδὴ δὲ ἐνταῦθα ὄντες ταῦτα ἀκούομεν, ὅπου κ) ἀναπνῆψαι δυνατὸν, κ) τὰ ἡμαρτημένα διορθώσασθαι, κ) πολλὴν κτήσασθαι τὴν παῤῥησίαν, καὶ ἐκ τῆ ἑτέρους συμβάντων κακῶν φοβηθέντας μετανοῆσαι, εὐχαριστῶμεν τῷ φιλανθρώπῳ θεῷ, τῷ διὰ τῆ ἑτέρων κολάσεως τὴν ἡμετέραν διεγείροντι ῥαθυμίαν, καὶ ἀφυπνίζοντι ῥαθυμοῦντας ἡμᾶς.

Διὰ γὰρ τοῦτο ταῦτα προείρηται, ἵνα μὴ ταῦτα πάθωμεν. εἰ γὰρ ἐβούλετο κολάσαι, ἐκ ἂν ταῦτα προεῖπεν. ἐπεὶ δὲ οὐ βούλεται ἐμβαλεῖν εἰς τιμωρίαν, διὰ τοῦτο προλέγει τὴν τιμωρίαν, ἵνα τῇ προῤῥήσει σωφρονισθέντες, τὴν διὰ τῆ πραγμάτων ἐκφύγωμεν πεῖραν.

Ἀλλὰ τίνος ἕνεκεν ἐκ εἶπεν ἔλαβες τὰ ἀγαθά σε, ἀλλ' ἀπέλαβες; μέμνησθε γὰρ, ἔφη, ὅτι ἐντεῦθεν ἔρην πέλαγος ἐκάνες κ) μέγα χωρίον ἡμῶν ἀνοίγεσθαι. τὸ γὰρ ἀπέλαβες ὀφείλημά τινα ἐπδεικνυμένου καὶ δηλοῦντός ἐστιν. ὑπολαμβάνει γὰρ τ' τὰ ὀφειλόμενα.

Εἰ τοίνυν μακρὸς, κ) σαμμίσθιος, κ) ἡμὲς, καὶ ἀπρα-

θρω-

Βρώπος οὗτός ὁ πλούσιος ἦν, τίνος ἕνεκεν ὡς εἶπεν αὐτῷ, ἔλαβες τὰ ἀγαθά σου, ἀλλ' ἀπέλαβες, ὡς χρέωστούμενα καὶ ὀφειλόμενα; τί δῆτα ἐντεῦθεν μανθάνομεν; ὅτι κἂν μικρόν τινες ὦσι καὶ εἰς ἔσχατον κακίας ἐληλακότες, πολλάκις ἔν τι κατὰ δύο καὶ τρία εἰργάσαντο ἀγαθόν. καὶ ὅτι οὐ σὺ χαλεπαίνεις τῷ πλουσίῳ λέγω, δῆλον ἐκεῖθεν. Τί γὰρ ἡ κρίσις ἡ δικαία ἐκείνου μιαρώτερον γέγονεν; τί δὲ ἀπανθρωπότερον; τί δὲ ἀσυγγνωστότερον; οὕτως οὔτε θεὸν ἐφοβεῖτο, οὔτε ἀνθρώπους ᾐσχύνετο· ἀλλ' ὅμως τοσαύτην πορνείαν συζῶν, εἰργάσατό τι καλόν, τὴν σωτηρίαν ἐνοχλοῦσαν αὐτῷ ἐλεήσας χήρων; καὶ ὀδυνηθεὶς τῇ χήρᾳ, καὶ δοὺς τὴν αἴτησιν καὶ ἐπεξελθὼν τοῖς ἀδικοῦσιν αὐτήν. Οὕτως συμβαίνει τινὰ ἀκόλαστον μὲν εἶναι, ἐλεήμονα δὲ πολλάκις. ἀνάνθρωπον μὲν, σώφρονα δὲ. εἰ δὲ καὶ ἀκόλαστος καὶ ἀμὸς εἶη, ἀλλ' ὅμως ἔν τι κατὰ τύχην πολλάκις ἔπραξεν ἀγαθόν.

Τὸ αὐτὸ δὴ πάλιν καὶ ὅπερ πρὸ χρησῶν ὑπενοήσειν χρή. καθάπερ γὰρ οἱ φαυλότατοί τι πολλάκις χρηστὸν, οὕτω καὶ οἱ σπουδαῖοι καὶ ἀρετοὶ διαμαρτάνουσί τι πολλάκις. Τὶς γὰρ καύχησέται, φησὶν, ἁγνὴν ἔχειν τὴν καρδίαν, ἢ τὶς παῤῥησιάσεται καθαρὸς εἶναι ἀπὸ ἁμαρτίας.

Εἰκὸς οὖν εἰκὸς ἦν καὶ τὸν πλούσιον, εἰ καὶ πρὸς ἔσχατον ἐληλάκει πορνείας ἐργάσασθαί τι ἀγαθὸν, καὶ τὸν Λάζαρον, εἰ καὶ πρὸς ἄκρον ἀφίκετο ἀρετῆς, ἡμαρτηκέναι τι μικρόν. ὅρα πῶς ἀμφότερα ταῦτα ἠνίξατο ὁ παμβασιλεὺς, εἰπὼν ὅτι καὶ σὺ ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, καὶ Λάζαρος ὁμοίως τὰ κακά. ὁ δὲ λέγει τοῦτό ἐστιν. εἴ τι καὶ σὺ ἀγαθὸν εἰργάσω, καὶ ὠφείλετο σοι τούτου μισθὸς, πάντα ταῦτα ἐν ἐκείνῳ τῷ κόσμῳ ἀπέλαβες· τρυφῶν, πλουτῶν, ἡμερίας δαπανῶν, καὶ θεραπείας πολλῆς. καὶ αὖ εἴ τι κακὸν εἰργάσω, πάντα ἀπο-

λαυεν ἐν πενίᾳ καὶ λιμῷ, καὶ τοῖς ἑκάστοις ἁλαὶ πορεύμενος κακοῖς. καὶ γυμνὸς ἐπάτερος ὑμῶν σὺ ταῦθα ἀφῆκας, ἐκεῖνος μὲν ἁμαρτημάτων, σὺ δὲ δικαιοσύνης· διὰ τοῦτο καὶ οὗτος καθαρὸν ἔχει τὸν παρέκλησιν, καὶ σὺ ἀπαραμύθητον ὑπομένεις τὴν τιμωρίαν.

Ὅταν γὰρ μικρὰ καὶ ὀυτελῆ τὰ κατορθώματα ἡμῶν ᾖ, καὶ πολὺς καὶ ἄφατος ὁ τῶν ἁμαρτημάτων ὄγκος, εἶτα ἐνταῦθα ὀυκ ἀπολαίσωμεν καὶ μηδὲν παθάνωμεν δεινὸν· ἀντὶ τῶν ἀγαθῶν τ' ἀμοιβῆς, ἔρημοι καὶ γυμνοὶ πάντως ἀπελευσόμεθα, πάντων ἐνταῦθα ὀπολαίοντες. ὥσπερ ἐπὶ ὅταν μεγάλα μὲν ᾖ τὰ κατορθώματα καὶ πολλὰ, μικρὰ δὲ καὶ ὀυτελῆ τὰ ἁμαρτήματα, εἶτα πάθωμέν τι δεινὸν, καὶ αὐτὰ τὰ μικρὰ ἐνταῦθα ὀπτιθέμενοι, καθαρὸν καὶ ἀπηρτισμένην ἐκεῖ τὸν τῶν ἀγαθῶν ἔργων ὀπολαμβάνομεν ἀντίδοσιν.

Ὅταν οὖν ἴδῃς τινὰ ζῶντα μὲν ἐν πονηρίᾳ, μηδὲν δὲ ἐνταῦθα πάσχοντα δεινὸν· μὴ μακαρίσῃς, ἀλλὰ δάκρυσον, θρήνησον, ὡς πάντα ἐκεῖ τὰ δεινὰ ὑποστησόμενον. καθάπερ οὖν καὶ ὁ πλούσιος ἔπαθε.

Πάλιν ὅταν ἴδῃς τινα ἀρετῆς ὀπομελέμενον καὶ μυρίας ὑπομένοντα πλεονασμούς· μακάρισον, ζήλωσον, ὡς τῶν ἁμαρτημάτων αὐτῷ πάντων ἐνταῦθα διαλυομένων, καὶ πολλῶν τ' ὑπομονῆς ἑτοιμαζομένων ἐκεῖ τὸν μισθόν. ὥσπερ οὖν καὶ ὅπι τὰ Λαζάρε τούτε γέγονε. τῶν γὰρ ἀνθρώπων οἱ μὲν ἐνταῦθα τιμωρεμῶ ταμένον, οἱ δὲ ἐνταῦθα μὲν ὀυδὲν πάσχοσι δεινὸν, πᾶσαν δὲ ἐκεῖ τὴν τιμωρίαν ὀπολαμβάνουσιν· οἱ δὲ καὶ ἐνταῦθα, καὶ ἐκεῖ κολάζονται.

Τίνας οὖν ἐκ τῶν τοιῶν μακαρίζετε τούτων; πρόσθετε μὲν ἴν ὀιδὲ ὅτι τὸς ἐνταῦθα κολαζομένους καὶ ὀπτιθεμένους τὰ ἁμαρτήματα, δικαίους δὲ μετ' ἐκείνους τίνας; ὑμεῖς μὲν

μὴ ἵσως τοὺς οὐδὲν ἐνταῦθα πάσχοντας, ἀλλὰ ἐκεῖ πᾶσαν ὑπομβύοντας τιμωρίαν. Ἐγὼ δὲ οὐ τούτους, ἀλλὰ τοὺς καὶ ἐνταῦθα καὶ ἐκεῖ κολαζομένους. ὁ μὲν γὰρ ἐνταῦθα τιμωρίαν δοὺς, κρείττονας αἰσθήσεται τῆς ἐκεῖ κολάσεως· ὁ δὲ πᾶσαν ἀναδεξάμενος ἐκεῖ τὴν κόλασιν ὑπομονήν, ἀπαραίτητον ἕξει τὴν δίκην.

Καθάπερ καὶ οὗτος ὁ πλούσιος ἐνταῦθα μηδὲν διαλυσάμενος τῶν οἰκείων ἁμαρτημάτων, οὕτω χαλεπῶς ἐκολάζετο, ὡς μηδὲ σταγόνος μικρᾶς δυνηθῆναι ἐπιτυχεῖν.

Καὶ τούτων δὲ αὐτῶν τῶν ἁμαρτανόντων μὲν, μηδὲν δὲ ἐνταῦθα πασχόντων δεινὸν, πολλῷ μᾶλλον ἐκείνους ταλανίζω, τοὺς μετὰ τὸ μὴ τιμωρεῖσθαι ἐνταῦθα, καὶ τρυφῆς καὶ ἀδείας ἀπολαύοντας. ὥσπερ γὰρ τὸ μὴ δοῦναι δίκην ἐνταῦθα τῶν ἁμαρτημάτων, χαλεπωτέραν ἐκεῖ ποιεῖ τὴν τιμωρίαν· οὕτω δὴ τὸ πολλῆς ἀπολαύειν ἀνέσεως, καὶ τρυφῆς, καὶ εὐπορίας τοὺς ἁμαρτάνοντας, ἐφύδιον αὐτοῖς καὶ ὑπόθεσις κολάσεως καὶ τιμωρίας ἐκεῖ γίνεται μείζονος. ὅταν γὰρ ἁμαρτάνοντες τιμώμεθα ὑπὸ τοῦ θεοῦ, αὐτὸ τοῦτο ἡμᾶς μᾶλλον εἰς τὸ πῦρ μειζόνως ἐμβαλεῖν δυνήσεται.

Εἰ γὰρ μακροθυμίας τις ἀπολαύων μόνον, ἂν εἰς δέον αὐτῇ μὴ χρήσηται, χαλεπωτέραν ἕξει τὴν τιμωρίαν· ὅταν μετὰ τὴν μακροθυμίας καὶ τιμὰς ἔχῃ μείζονας εἶτα, ἀναιμένῃ τῇ πονηρίᾳ, τίς αὐτὸν ἐξελεῖται τῶν κολάσεως ἐκείνης.

Ὅτι γὰρ οἱ μακροθυμίας ἐνταῦθα ἀπολαύοντες, σωρεύουσιν ἑαυτοῖς ὀλόκληρον ἐκεῖ τὸ κακὸν, ἐὰν μὴ μετανοήσωσιν· ἄκουσον τί φησιν ὁ Παῦλος. λογίζῃ δὲ τοῦτο ὦ ἄνθρωπε ὁ κρίνων τοὺς τὰ τοιαῦτα πράσσοντας, καὶ ποιῶν αὐτὰ, ὅτι σὺ ἐκφεύξῃ τὸ κρίμα τοῦ θεοῦ, ἢ τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ, καὶ τῆς ἀνοχῆς καὶ τῆς μακροθυμίας κατα-

φρονεῖς ἀγνοῶν ὅτι τὸ χρηστὸν τοῦ θεοῦ εἰς μετάνοιαν σε ἄγει, κατὰ δὲ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς, καὶ ἀποκαλύψεως καὶ δικαιοκρισίας τοῦ θεοῦ.

Ὅταν οὖν ἴδωμέν τινας πλουτοῦντας, τρυφῶντας, μύρων ὄζοντας, ἐν μέθῃ διημερεύοντας, ἐν ἀσωτείᾳ ὄντας, καὶ ἁβρῇ σκευῇ. καὶ φαντασίᾳ καὶ ὑποκρισίᾳ, καὶ ἁμαρτάνοντας, καὶ μηδὲν πάσχοντας δεινόν· διὰ αὐτὸ τοῦτο αὐτοὺς μᾶλλον δακρύωμεν καὶ θρηνῶμεν, ὅτι ἁμαρτάνοντες οὐ κολάζονται.

Ὥσπερ γὰρ εἴ τινα εἴδες ὑδέρῳ ἢ σπλῆνι κατεχόμενον, ἢ σκιρρώδη τινὰ ἔχοντα, καὶ ἕλκη μυρία πανταχοῦ εἰ τὰ ὀστᾶ πᾶσι τούτοις μεθύοντα, τρυφῶντα, καὶ τῇ νόσῳ ὑποτέροντα· οὐ μόνον οὐ θαυμάζεις, οὐδὲ μακαρίζεις διὰ τὴν τρυφὴν, ἀλλὰ διὰ αὐτὸ τοῦτο μᾶλλον ἐλεεῖς αὐτὸν· οὕτω καὶ ὅταν τὰ ψυχῆς λογίζῃ.

Ὅταν οὖν ἴδῃς ἄνθρωπον πονηρὰ συρράττοντα καὶ πολλῆς ἀπολαύοντα τῆς εὐημερίας, καὶ οὐδὲν πάσχοντα δεινόν, διὰ τοῦτο μᾶλλον θρήνησον, ὅτι νοσήματι κατεχόμενος, καὶ σκιρρώδει χαλεπωτάτῳ, τὴν ἀρρωστίαν ἐπιτείνει, διὰ τὴν τρυφὴν καὶ τὴς ἀνέσεως χείρων γινόμενος· οὐ γὰρ ἡ κόλασις κακὸν, ἀλλ' ἡ ἁμαρτία κακόν. αὕτη μὲν γὰρ τοῦ θεοῦ διίστησιν, ἐκείνη δὲ συνάγει ἡμᾶς πρὸς τὸν θεὸν, καὶ καταλύει τὴν ὀργήν.

Πόθεν τοῦτο δῆλον; ἄκουσον τοῦ προφήτου λέγοντος· παρεκαλεῖτε, παρεκαλεῖτε τὸν λαόν μου ἱερεῖς, λαλήσατε ὑπὲρ τὴν καρδίαν Ἰερουσαλήμ, ὅτι πεπλήρωται ἡ χειρὸς κυρίου διπλᾶ τὰ ἁμαρτήματα αὐτῆς. καὶ πάλιν, Κύριος ὁ θεὸς ἡμῶν, εἰρήνην δώσει ἡμῖν, πάντας γὰρ ἀπέδωκας ἡμῖν.

Καὶ

Καὶ ἵνα μάθητε ὅτι οἱ μὲν ἐνταῦθα, οἱ δὲ ἐκεῖ κολάζονται· οἱ δὲ καὶ ἐνταῦθα, καὶ ἐκεῖ, ἀκούσατε τί φησιν ὁ Παῦλος κατηγορῶν τῆς ἀναξίως κοινωνούντων τοῖς μυστηρίοις. Εἰσὶν γάρ, ὅτι ὁ ἐσθίων καὶ πίνων τὸ σῶμα καὶ αἷμα τοῦ κυρίου ἀναξίως, ἔνοχος ἔσται τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ χριστοῦ, ἐπήγαγεν εὐθέως, διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄῤῥωστοι, καὶ κοιμῶνται ἱκανοί· εἰ γὰρ ἑαυτοὺς ἐνεκρίνομεν ἂν ἂν ἐνεκρινόμεθα· νῦν δὲ κρινόμενοι ὑπὸ τοῦ κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν.

Ὁρᾶς πῶς ἡ ἐνταῦθα κόλασις ἐξαρπάζει τῆς ἐκεῖ τιμωρίας ἡμᾶς; καὶ περὶ τοῦ πορνεύσαντος δέ φησι· παραδοῦναι τὸν τοιοῦτον τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκὸς, ἵνα τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ. Καὶ ὅπου τοῦ Λαζάρου δέ τοῦτο δέδηλον, ὅτι κακὸν εἴ τι ἐποίησεν, ἐνταῦθα τῦτο ἀπονιψάμενος, οὕτως ἀπῆλθεν ἐκεῖ καθαρός· καὶ ὅπου τοῦ παραλελυμένου δὲ τοῦτό ἐστι δῆλον, ὃς διάκονα καὶ ὀκτὼ ἔτη ἔχων ἐν τῇ ἀσθενείᾳ, μετὰ τῆς ἀῤῥησίας καὶ τὰ ἁμαρτήματα ἀπέθετο, ὅτι δὲ ἐξ ἁμαρτημάτων οὗτος διέκειτο, ἀκούσον τί φησιν ὁ χριστός· Ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται.

Ὅτι μὲν οὖν τινες ἐνταῦθα κολάζονται καὶ τὰ ἁμαρτήματα ἀποτίθενται δῆλον ἐκ τούτων. ὅτι δέ τινες καὶ ἐνταῦθα, καὶ ἐκεῖ κολάζονται, ὅταν μὴ τὴν ἀξίαν τῆς ἁμαρτημάτων ἐνταῦθα ἀπολάβωσι τιμωρίαν· ἄκουσον περὶ τοῦ Σοδομιτῶν τί φησιν ὁ Χριστός· εἰπὼν γὰρ ὅς ἂν μὴ δέξηται ὑμᾶς ἀποτινάξατε τὸν κονιορτὸν τῆς ποδῶν ὑμῶν· ἐπήγαγε λέγων, ἀνεκτότερον ἔσται

γῆ Σοδόμων καὶ Γομόρρας ἐν ἡμέρᾳ κρίσεως, ἢ τῇ πόλει ἐκείνῃ.

Τῷ γὰρ εἰπεῖν ἀνεκτότερον, τοῦτο ἐδήλωσεν, ὅτι κἀκεῖνοι κολάζονται μέν, κουφότερον δὲ ἐπὶ δὴ καὶ ἐνταῦθα ἐδωκεν εἰπεῖν,

Ὅτι ἢ εἰσί τινες οἱ ἐνταῦθα μὲν οὐδὲν πάσχοντες δεινὸν, ἐκεῖ δὲ πᾶσαν ὑπομένοντες τιμωρίαν· ἐδήλωσεν ὁ πλοῦτος οὗτος, ἀπαραίτητον τὸν ἐκεῖ κόλασιν ὑπομένων καὶ μηδὲ μικρᾶς ἀπολαύων παραμυθίας, διὰ τὸ πᾶσαν ἐκεῖ τὴν ἡδονὴν ἀντὶ τῶν τιμωρίων.

Ὥσπερ οὖν ὅτι τῆς ἁμαρτάνειν, οἱ μηδὲν παθόντες ἐνταῦθα δεινὸν, μείζονα ὑφίστανται τὴν τιμωρίαν ἐκεῖ· οὕτως ὅτι τῆς κατορθοῦν, εἰ πολλὰ παθόντες ἐνταῦθα δεινὰ, πολλῆς ἀπολαύσονται τιμῆς ἐκεῖ. καὶ καθάπερ ἁμαρτωλῶν ὄντων δύο, ἂν ὁ μὲν ἐνταῦθα κολασθῇ, ὁ δὲ μὴ κολασθῇ, μακαριώτερος ὁ κολασθεὶς ἢ μὴ κολασθέντος ἐστὶν· οὕτω δὴ καὶ δικαίων ἐνταῦθα ὄντων δύο, ἂν ὁ μὲν πλείους ὁ δὲ ἐλάττους ὑπομείνῃ τὰς θλίψεις, μακαριώτερος ὁ τὰς πλείους ὑπομένων ἐστὶν, ἐπειδὴ μείζονα ἀποδώσει καὶ τὰ τὰ ἔργα αὐτοῦ.

Τί οὖν, φησὶν, ἂν εἰσί τις καὶ ἐνταῦθα, καὶ ἐκεῖ ἀνίσους ἀπολαύων; ἀμήχανον τοῦτό ἐστιν ἄνθρωπε. οὐ γὰρ ἔστι τοῦτο, τὸν ἐνταῦθα ῥᾳθυμίας καὶ ἀδείας ἀπολαύοντα καὶ τρυφῶντα σωφρόνως ἐν πᾶσι, καὶ τὸν εἰκῇ καὶ ἁπλῶς ζῶντα βίον, τιμῆς ἀπολαῦσαι ἐκεῖ.

Κἂν γὰρ σπουδὴ μὴ ἐνοχλῇ, ἀλλ' ὀλιγωρία ἐνοχλῇ, καὶ δι' αὐτὴν κατέχεται, καὶ οὐ μικρὸς ἐν τούτῳ πόνος. κἂν νόσος μὴ ἐπηρεάζῃ, ἀλλὰ θυμὸς ἐκκαίει, καὶ οὐχ ἡ τυχοῦσα ὀδυνῶν περιγινέσθαι ὀργῆς. Κἂν πειρασμοὶ μὴ ἐπεκχέωσιν

ἀλλὰ

ἀλλὰ λογισμοὶ πονηροὶ συνεχῶς ἐπανίστανται· οὐκ ἔστι δὲ τὸ τυχὸν, χαλινῶσαι ἐπιθυμίαν ἄτοπον, παῦσαι κενοδοξίαν, κατασεῖλαι ὑπόνοιαν, τρυφῆς ἀποστῆναι, ἐν σκληραγωγίᾳ διάγειν· τὸν γὰρ μὴ ταῦτα καὶ τὰ τοιαῦτα ποιοῦντα ἀμήχανον σωθῆναί ποτε.

Καὶ ὅτι οἱ τρυφῶντες οὐ σώζονται· ἄκουσον τί φησιν ὁ Παῦλος περὶ γυναικὸς χήρας. ἡδὺ δὲ σπαταλῶσα, ζῶσα τέθνηκεν. εἰ δὲ περὶ γυναικὸς τοῦτο εἴρηται, πολλῷ μᾶλλον περὶ ἀνδρός.

Καὶ ὅτι οὐκ ἔστι πένητα ζῶντα βίον ὑπερτυχεῖν τοῦ ἐναντίου, καὶ ὁ Χριστὸς τοῦτο αὐτὸ δῆλον ἐποίησεν, οὕτως εἰπών. Στενὴ καὶ τεθλιμμένη ἡ ὁδὸς ἀπάγουσα εἰς τὴν ζωὴν καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν.

Πῶς οὖν φησιν ὁ ζυγός μου χρηστός ἐστι, καὶ τὸ φορτίον μου ἐλαφρόν, Εἰ στενὴ ἡ ὁδὸς καὶ τεθλιμμένη, πῶς πάλιν αὐτὴν ἐλαφρὰν καὶ κούφην καλεῖ; τὸ μὲν διὰ τὴν φύσιν τοῦ πειρασμοῦ, τὸ δὲ διὰ τὴν προαίρεσιν τοῦ μετιόντων. ἔστι γὰρ καὶ τὸ ἀφόρητον τῇ φύσει γενέσθαι κοῦφον, ὅταν μετὰ προθυμίας αὐτὸ διέλθωμεν.

Ὥσπερ οὖν καὶ οἱ Ἀπόστολοι μαστιγωθέντες ἐχάρησαν, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος τοῦ κυρίου ἀτιμασθῆναι. καὶ τοι ἡ φύσις τοῦ βασάνου θλίψιν εἰωθεν ἐμποιεῖν καὶ ὀδύνην· ἀλλὰ προαίρεσις τοῦ μαστιγωθέντων καὶ τὴν φύσιν τοῦ πραγμάτων ἐνίκησε. διὰ τοῦτο καὶ ὁ Παῦλος φησί, πάντες δὲ οἱ θέλοντες ζῆν εὐσεβῶς ἐν Χριστῷ Ἰησοῦ διωχθήσονται. ὥστε κἂν ἄνθρωπος μὴ διώκῃ, ἀλλ' ὁ διάβολος πολεμεῖ, καὶ πολλῆς ἡμῖν δεῖ τῆς φιλοσοφίας, καὶ μεγάλης τῆς καρτερίας, ἵνα ἐν εὐχαῖς νήφωμεν καὶ ἀγρυπνῶμεν, ἵνα τῶν ἀλλοτρίων μὴ ἐπιθυμῶμεν, ἵνα τὰ ὄντα πρὸς τοὺς

σιομένως διαπεμψώμεθα, ἵνα φασὶ τὴν ψυχὴν γένεσιν καὶ δημιόζειν εἰ πεμφθῆ, καὶ τὴ διὰ τῆ ἱματίων καὶ τῆ διὰ τ' βαπτίζας. ἵνα πλουτήσωμεν φύγωμεν, ἵνα μίθωμεν, ἵνα λειδορίας ἵνα γλώττης κρατῶμεν, ἵνα μηδὲ ζοῶμεν ἀτάκτως (πᾶσα γὰρ πηρία καὶ θυμὸς, καὶ ὀργὴ, καὶ κραυγὴ, καὶ βλασφημία ἀρθήτω ἀφ' ὑμῶν) ἵνα μὴ αἰσχρολογῶμεν. ὦ μικρὸς δὲ φόνος ὄντας, ἀκριβῆ τὴν τούτων παρατήρησιν ἐπιδειξώμεθα.

Καὶ ἵνα μάθῃς πόσον ἐστὶ τὸ φιλοσοφεῖν, καὶ ὡς ἔχει τὸ πρᾶγμα ἄνεσιν, ἀκούσον τί φησιν ὁ Παῦλος. ὑποπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ. τοῦτο γὰρ εἰπὼν, ὑπέξαιρε τὸν βίαιον καὶ τὸν πολεμοῦντα φόνον, ὃν ὑπομένειν ἀνάγκη τοὺς βουλομένους ἐν ἅπασιν ἄμωμον κατασκευάζειν τὸ σῶμα. καὶ ὁ χριστὸς δὲ τοῖς μαθηταῖς ἔλεγεν Ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε, ἀλλὰ θαρσεῖτε ἐγὼ νενίκηκα τὸν κόσμον. αὐτὴ φησὶν ἡ θλῖψις, ἣν ἐγὼ πέφευγα. ἐμοὶ

Σκάμμα ἐστὶν ὁ παρὼν βίος. ἐν δὲ τῷ σκάμματι καὶ τοῖς ἐγκειμένοις οὐκ ἂν δυνάμενοι ἀπλανεύεσθαι ἀκίνδυνος ὁ στεφανοῦσθαι μέλλων. ὥστε εἴ τις βούλοιτο στεφανωθῆναι, τὸν σκληρὸν καὶ δύσπονον αἱρείσθω βίον, ἵνα δεσποτικῶν ἀπολαύσωμεν τιμῶν ἐκεῖ.

Πόσοι φροντίζουσι καθ' ἑκάστην ἡμέραν ἀδημίας; ἡ λύπης δὲ ἐστι ψυχῆς μὴ ἀπολαυστῆσαι, μηδὲ δυσχερᾶναι, ἀλλὰ εὐχαριστῆσαι, δοξάσαι, προσκυνῆσαι τὸν συγχωροῦντα τοὺς τοιούτους ἁμαρτήματα; πόσα ἀδύνητα; πόσαι στενοχωρίαι; Καὶ δεῖ θλίβειν τοὺς πονηροὺς λογισμοὺς, καὶ μὴ συγχωρεῖν τῇ γλώττῃ φθέγγεσθαι τὰ ἀτόπων.

Καθεύδωμεν καὶ ὁ μακάριος Γαὴλ μυρία πταίων ἡμέρας δυσα-

ἐυχαριστῶν τῷ θεῷ. εἰσὶ δέ τινες οἱ ἂν σφοδρότερον ὀργισθῶσιν ἐπί τινι, ἢ παρά τινος λοιδορηθῶσιν, ἢ ἀρρωστίᾳ περιπέσωσιν, ἢ ποδαλγίᾳ, ἢ κεφαλαλγίᾳ, ἢ ἄλλῳ τινὶ τοιούτων νοσημάτων, βλασφημοῦσιν ἐθέως. Καὶ τὸν μὲν τοίνυν ὑφίστανται τοῦ νοσήματος τὸ, κέρδους δὲ ἀποστεροῦνται.

Τί ποιεῖς ἄνθρωπε, τὸν ἐνεργέτην καὶ σωτῆρα καὶ εὐεργέτην, καὶ κηδεμόνα βλασφημῶν; ἢ ὡς αἰθαλέην κατὰ χρημνοῦ φερόμενος, καὶ εἰς βάραθρον σαυτὸν ἐμβάλλων ἀπωλείας ἐχάτης; μὴ γὰρ ἐὰν βλασφημήσῃς κουφότερον τὸ πάθος ποιεῖς; ὀδυνεῖς μᾶλλον ἐμαυτὸν, καὶ χαλεπωτέραν ἐργάζῃ τὴν ὀδύνην. διὰ γὰρ τοῦτο ὁ διάβολος μυρία ἐπάγει δεινὰ, ἵνα εἰς ἐκεῖνό σε καταγάγῃ τὸ βάραθρον· κἂν μὲν ὅλῃ βλασφημοῦντα, βαθέως αὔξει τὴν ἀλγηδόνας καὶ μείζονα ποιεῖ, ἵνα καυτούμενος ὑπομονητικὸς πάλιν· ἂν δὲ ἴδῃ σε ἡμερώτερον φέροντα, καὶ ὅσον τὸ πάθος ἐπιτείνεται τοσοῦτο μᾶλλον εὐχαριστοῦντα τῷ θεῷ, ἀφίστατο ἐθέως ὡς εἰκῇ καὶ μάτην φαρμάκου λιτοῦ.

Καὶ καθάπερ κύων τραπέζῃ παρεστὼς, ἂν μὲν ἴδῃ τὸν ἐσθίοντα ἄνθρωπον σωφρόνως αὐτῷ ῥίπτοντά τι τῷ ὄντι ἡ ῥαπίζης κειμένων, μᾶλλον ἀλιγωκῶς· ἂν δὲ ἄπαξ καὶ δεύτερον παρέχεται μηδὲν λάβῃ, ἀφίστατο λοιπὸν, ἄτε εἰκῇ προσδρέμων καὶ μάτην· οὕτω καὶ ὁ διάβολος ἐπεὶ σωφρόνως πρόσεισι πρὸς ἡμᾶς; ἂν μὲν ῥίψῃς αὐτῷ, καθάπερ κυνὶ ῥῆμα βλάσφημον, δεξάμενος πάλιν ὑποθήσεται, ἂν δὲ μείνῃς ἀνεχόμενος ἀναπτίξας αὐτὸν τῷ λιμῷ, καὶ ταχέως ἀπήγαγε, καὶ ὑποπτῆσαι ἐπείσας.

Ἀλλ' οὐ δύναται σιγᾶν ἕως τέλους τὸν ὠδύνης κεντούμενος, οὐδὲ ἐγὼ κωλύω σε φθέγγεσθαι· ἀλλ' ἀντὶ τῆς βλασφημίας, εὐχαριστῶ· ἀντὶ τῆς ὑπομονητικοῦ ἀθυμίαν ἐξομολόγησαι τῷ

διαπο-

διαβόλη εἰα μεγάλα ἀυχῶμενος, εἰα μεγάλα δοξάζων· ἀυτῶ σοι κὴ τὸ πάθος κουφίζεται, τῦ διαβόλου μὲν ἀφιςαμένου διὰ τ' ἐυχαριςίας, τ' τῦ θεοῦ δὲ βοηθείας παραγινομένης.

Ἀ'ναβὰ γὰρ βλασφημήσης, κὴ τὴν τῦ θεοῦ συμμαχίαν ἀπεκρούσω, κὴ σφοδρότερον εἰργάσω κατὰ σοῦ τὸν διάβολον, κὴ μᾶλλον σαυτὸν ἐνέπλεξας ταῖς ἀλγηδόσιν. ἂν δὲ ἐυχαριςήσης, τάς τε ὀπισθουλὰς ἀπεκρούσω, τὰς τῦ πονηροῦ δαίμονος, κὴ τὴν τῦ κηδεμόνος θεοῦ θεραπείαν ἐπεσπάσω πρὸς σεαυτόν.

Ἀλλ' ὑπὸ τ' συνηθείας ὁρμᾷ πολλάκις ἡ γλῶτα τὸ πικρὸν ἐκεῖνο φθέγξασθαι ῥῆμα. ἀλλ' ἐπειδὰν ὁρμήσῃ, πρὶν ἢ τὸ ῥῆμα ἐξενεγκεῖν, κατάσχε τοῖς ὀδοῦσιν αὐτὴν πάντοθεν σφοδρῶς. βέλτιον αὐτὴν αἷμα ῥέειν νῶ, ἢ τότε σαγόνος ὀπισθυμῆσαν μὴ δυνηθῆναι ταύτης τυχεῖν. βέλτιον αὐτὴν πρὸς καιρὸν ὑπομεῖναι πόνον, ἢ συνεχῆς κολάσεως ὑπος ῆναι τὸν τιμωρίαν τότε. Καθάπερ κὴ ἡ τῦ πλουσίε τότε γλῶτα φλεγομένη, παρομυθίας ἔτυχεν ὀδυνηρᾶς.

Τοὺς ἐχθρούς σοι πρόσταξεν ὁ θεὸς φιλεῖν, σὺ δὲ τὸν φιλοῦντα σε ἀποστρέφῃ θεόν; τοὺς ἐπηρεάζοντας εὐφημεῖν, τοὺς λοιδορῦντας εὐλογεῖν· σὺ δὲ τὸν εὐεργέτην κὴ πρόσταλον λέγῃς κακῶς μηδὲν ἠδικημένος;

Μὴ γὰρ ἐκ ἠδύνατο λῦσαι τὸν πειρασμόν; ἀλλὰ συνεχώρησεν, ἵνα γένῃ δοκιμώτερος. ἀλλ' ἰδοὺ, φησι, κατεπίπτω κὴ ἀπώλυμην; οὐ παρὰ τ' τῆ πειρασμῦ φύσιν, ἀλλὰ παρὰ τὴν ῥαθυμίαν τ' σήν.

Τί γὰρ ἐυκολώτερον, εἰπέμοι, βλασφημία ἢ εὐχαριςία; ἐχὶ τὸ μὲν κὴ τὰς ἀκούοντας ἐχθρούς σοι κὴ πολεμίους καθίςησι, κὴ εἰς ἀθυμίαν ἐμβάλλει, μᾶ ταῦτα κὴ πολλὴν ἐργάζεται τ' ὀφελίαν; τὸ δὲ μυρίους σοι φέρῃ φιλοσοφίας ἐπαί-

φάσους

φάνους καὶ μυρία παρὰ πάντων θαύματα, καὶ μεγάλας παρὰ τοῦ θεοῦ τὰς ἀμοιβάς;

Τί τοίνυν τὸ ὠφελῆσαι καὶ ἄνυκλον καὶ ἡδὺ ἀφεὶς, τὸ βλάπτον καὶ λυπῆσαι καὶ κατατῆκον αὐτὸ ἐκείνου διώκεις; ἀλλως δέ, εἰ ἡ τῶν περιττασμοῦ καὶ τῆς πενίας θλῖψις αἰτία τῆς βλασφημίας γίνεται· πάντας ἔδει τοὺς ἐν πενίᾳ βλασφημεῖν. νυνὶ δὲ τῆς ἐν πενίᾳ ζωῆς ἐχάτη πολλοὶ διαφερόντως εὐχαριστοῦσιν, ἕτεροι δὲ ἀπολαύοντες πλούτου καὶ τρυφῆς οὐ διαλιμπάνουσι βλασφημοῦντες. οὕτως οὐχ ἡ τῶν πραγμάτων φύσις, ἀλλ' ἡ προαίρεσις ἡμετέρα καὶ τοῦτο κἀκεῖνο ἐργάζεται.

Διὰ γοῦν τοῦτο καὶ ταύτην ἀνέγναμψε τὴν παραβολὴν, ἵνα μάθῃς ὅτι τὸ μὲν βαθυμοῦντα, οὐδὲ ὁ πλοῦτος ἀνίησι, τὸ προσέχοντα δὲ, οὐδὲ ἡ πενία καταβλάπτει πώποτε. καὶ τί λέγω πενία; Κἂν ἅπαντα τὰ ἐν ἀνθρώποις ὁμοῦ συνέλθῃ κακὰ, τὴν τοῦ φιλοθέου καὶ φιλοσόφου ψυχὴν οὐδέποτε ἐλέγξει, οὐδὲ ἀποστῆναι πείσει τῆς ἀρετῆς. Καὶ τούτων μάρτυς ὁ Λάζαρος.

Ὥσπερ οὖν τὸ χαῦνον καὶ διαλελυμένον οὐ πλοῦτος, ἀλλ' ὑγιεία, οὐ διηνεκὴς ὀλημερία, οὐκ ἄλλο οὐδὲν ὠφελῆσαι διώσεταί ποτε.

Μὴ τοίνυν λέγωμεν, ὅτι πενία καὶ νόσος καὶ κινδύνων ἀπαγωγαὶ βλασφημεῖν ἀναγκάζουσιν. οὐ πενία, ἀλλὰ ἄνοια· ἡ νόσος, ἀλλὰ καταφρόνησις· οὐ κινδύνων ἀπαγωγὰ, ἀλλ' ὀλιγωρίας ἰδιωμία, καὶ εἰς βλασφημίαν, καὶ εἰς πᾶσαν ἄλλην κακίαν τοὺς μὴ προσέχοντας.

Ἀλλὰ τίνος ἕνεκεν, φησὶν, οἱ μὲν ἐνταῦθα κολάζονται, οἱ δὲ ἐκεῖ· καὶ οὐκ ἐνταῦθα πάντες; τίνος ἕνεκεν;

Ὅτι εἰ τοῦτο ἦν, πάντες ἂν ἀπωλόμεθα, πάντες γὰρ ἐσμὲν ἐν ἁμαρτίαις. πάλιν εἰ μηδεὶς ἐνταῦθα κολάζεται, ῥαθυμότερον

θυμότεροι οἱ πλείους ἐγένοντο. Καὶ πολλοὶ ἂν εἶεν μὴ εἶναι φθόνοι. ἐὰν γὰρ νῦν ὁρῶντες τὴν πορνῶν πολλοὺς κολαζομένους, πολλὰ τοιαῦτα βλασφημοῦσιν· εἰ μὴ δὲ τοῦτο ἦν τί οὐκ ἂν εἶπον; ποῦ οὐκ ἂν ἦλθον κακίας;

Διὰ τοῦτο ὁ θεὸς τοὺς μὲν ἐνταῦθα κολάζει, τοὺς δὲ οὐ κολάζει. κολάζει μὲν γάρ τινας, τὴν κακίαν αὐτῶν ἐνδεικνύμενος καὶ κουφοτέραν τὴν ἐκεῖ ποιῶν τιμωρίαν, εἰ καὶ τέλεον ἀπαλλάττων αὐτοὺς, καὶ τοὺς ἐν πορνείᾳ ζῶντας σωφρονιστέρους ποιῶν τῇ τούτων τιμωρίᾳ.

Τοὺς δὲ οὐ κολάζει πάλιν, ἵνα ἂν μὲν φθάσωσιν ἑαυτοῖς μετανοήσαντες, καὶ τὴν τοῦ θεοῦ μακροθυμίαν αἰδεσθέντες, καὶ τῶν ἐνταῦθα κολάσεως ἀπαλλαγῶσι, καὶ τῶν ἐκεῖ τιμωρίας. ἂν δὲ ὀκνήσωσι, μηδὲν ὑπὸ τῶν ἀνέξικακίας ὀφελούμενοι τοῦ θεοῦ, μείζονα ὑπενεγκῶσι τιμωρίαν διὰ τὴν ἄγαν αὐτῶν καταφρόνησιν.

Εἰ δὲ λέγοι τις τῶν ἑταίρων ὅτι οἱ κολαζόμενοι ἐπηρεάζονται (ἠδικήκασι γὰρ μετανοήσαντες) ἐκεῖνο ἂν εἴποιμεν, ὅτι εἰ φθάνει μετανοήσαντας αὐτοὺς ὁ θεὸς, οὐκ ἂν ἐκόλασεν. εἰ γὰρ οὖν δεῖ καὶ διορθώτους μένοντας ἀφίησι, πολλῷ μᾶλλον, οὓς ἤλεγε κερδαίνοντας ἀπὸ τῆς αὐτοῦ μακροθυμίας εἰάσειν ἂν καὶ τῇ παρούσῃ ζωῇ, ὥστε ἀπολαῦσαι τῆς φθασάσης εἰς μετάνοιαν.

Νυνὶ δὲ φθαναρπάζων αὐτοὺς, καὶ ἐκείνοις κουφοτέραν τὴν ἐκεῖ δίκην καθίζησι, καὶ τούτους σωφρονιστέρους ταῖς τούτων τιμωρίαις ἐργάζεται.

Καὶ τίνος ἕνεκεν οὐκ ὀπὶ πάντων τοῦτο ποιεῖ τῶν πορνῶν; ἵνα τῷ φόβῳ καὶ ταῖς ἑτέρων τιμωρίαις, μένοντες σωφρονέστεροι γένωνται, καὶ τὴν μακροθυμίαν ἐπαινέσαντες τοῦ θεοῦ καὶ τὸ ὀφειλόμενον αἰδεσθέντες αὐτῷ, τῆς πορνείας ἐκκλίνωσιν.

Ἀλλ'

Ἀλλ' οὐδὲν τούτων ποιοῦσι; φησίν. ἀλλ' οὐχ ὁ θεὸς ἄρτος λοιπὸν, ἀλλ' ἡ ἐκείνων ῥαθυμία, μὴ βουληθέντων τοῦτοις φαρμάκοις εἰς τὴν οἰκείαν ἀποχρήσασθαι σωτηρίαν.

Καί ἵνα μάθῃς ὅτι διὰ τοῦτο τοῦτο ποιεῖ, προσέχε. ἔμιξε αὐτὸ τὸ αἷμα τῶν Γαλιλαίων ὁ Πιλᾶτος μετὰ τῶν θυσιῶν, καὶ προσελθόντες τινὲς ἀπήγγειλαν τῷ Χριστῷ τοῦτο αὐτὸ, καὶ λέγει. τί δοκεῖτε; ὅτι ἐκεῖνοι οἱ Γαλιλαῖοι ἁμαρτωλοὶ μόνοι ἦσαν; οὐχὶ λέγω ὑμῖν· ἀλλ' ἐὰν μὴ μετανοήσητε καὶ ὑμεῖς ὁμοίως ἀπολεῖσθε.

Πάλιν ἕτεροι δέκα καὶ ὀκτὼ κατεχώσθησαν ὑπὸ πύργου τινός, καὶ περὶ ἐκείνων τὰ αὐτὰ εἶπεν. τῷ μὲν γὰρ εἰπεῖν, τί δοκεῖτε, ὅτι ἐκεῖνοι ἁμαρτωλοὶ ἦσαν μόνοι, οὐχὶ λέγω ὑμῖν· ἐδήλωσεν, ὅτι καὶ οἱ ζῶντες τῶν αὐτῶν ἦσαν ὑπεύθυνοι. τῷ δὲ εἰπεῖν, ὅτι ἐὰν μὴ μετανοήσητε, καὶ ὑμεῖς ὡσαύτως ἀπολεῖσθε· ἐδήλωσεν, ὅτι καὶ ἐκείνοις συνεχώρησε ταῦτα παθεῖν, ἵνα οἱ ζῶντες ἐκ τῶν ἑτέρων συμβάντων φοβηθέντες καὶ μετανοήσαντες, βασιλείας κληρονόμοι γένωνται.

Τί οὖν, ἵνα γένωμαι ἐγὼ βελτίων, ἐκεῖνος κολάζεται, φησίς; οὐ διὰ τοῦτο. ἀλλὰ κολάζεται μὲν διὰ τὴν οἰκείαν ἁμαρτίαν· γίνεται δὲ ἐκ περιουσίας τοῖς προσέχουσι, σωτηρίας ὑπόθεσις, τῇ φύσει τῇ αὐτῷ συμβάντων αὐτοὺς σωφρονεστέρους αὐτοὺς ποιῶν. οὕτω καὶ διατάττει ποιοῦσιν, ἵνα σπουδαίως μαθητεύσαντες οἰκείτην, τοὺς λοιποὺς ἀωφελεστέρους ἐποίησαν τῇ φόβῳ.

Ὅταν οὖν ἴδῃς τινας, ἢ ναυαγίῳ περιπεσόντας, ἢ ὑπὸ οἰκίας καταχωσθέντας, ἢ ἁρπασμῷ παραπολυμένους, ἢ ὑπὸ σταθμῶν παρασυρέντας, ἢ ἄλλῳ τινὶ τρόπῳ τοιούτῳ βιαίῳ τὴν ζωὴν καταλύσαντας, εἶτα ἑτέρους τὰ αὐτὰ αὐτοῖς, ἢ καὶ τὰ χείρονα ἁμαρτάνοντας, καὶ

μηδὲν

μηδὲν παθόντας τοιοῦτον μὴ θορυβηθῇς, λέγων τί δήποτε τὰ αὐτὰ ἁμαρτάνοντες, οὐ τὰ αὐτὰ πεπόνθασιν· ἀλλὰ τῦτο λογίζου, ὅτι ἢ μὴ εἴσσεν ἀναιρεθῆναι καὶ ὑπομνησθῆναι, ἡμερωτέραν αὐτῷ παρασκευάζων τὴν ἐκεῖ τιμωρίαν, ἢ κ τέλεον αὐτὸν ἀπαλλάττων· τῦτον δὲ οὐδὲν ἀφῆκε τοιοῦτον παθεῖν, ἵνα τῇ τούτου τιμωρίᾳ σωφρονισθεὶς, ὕστερος γένηται. ἂν δὲ ὑπομένῃ αὐτοῖς ἀπαραμύθητον ἑαυτῷ παρὰ τῆς ἑαυτοῦ ῥαθυμίας σωρεύσῃ τὴν τιμωρίαν. ἄρα ὁ θεὸς ἐκ αἴτιος κολάσεως.

Γάλλη ἂν ἴδῃς δίκαιον θλιβόμενον, ἢ τὰ ὠφειλημένα ἅπαντα πάσχοντα, μὴ καταπίσῃς. κ γὰρ κἀκείνῳ λαμπροτέρους τοὺς στεφάνους ἐργάζεται τὰ δεινά. κ ἁπλῶς πᾶσα κόλασις ἂν μὲν ὑπὲρ ἁμαρτωλῶν γένηται, ὑποτέμνεται τὸ τῆς ἁμαρτίας φορτίον· ἂν δὲ ὑπὲρ δικαίων, φιλοτιμοτέραν αὐτῶν ἐργάζεται τὴν ψυχὴν, κ μέγιστον ἑκατέροις τὸ κέρδος ἀπὸ τῆς θλίψεως συμβαίνει, μόνον ἂν εὐχαρίστως φέρωμεν. τοῦτο γάρ ἐστι τὸ ζητούμενον.

Διὰ τῦτο μυρίων παραδειγμάτων τῆς θείας γραφῆς ἡ ἱστορία ἐμπέπλεκται, καὶ δικαίους κ πονηροὺς κακῶς πάσχοντας ἡμῖν ὑποδείκνυσιν, ἵνα ἄν τε δίκαιος ᾖ τις, ἂν τε ἁμαρτωλὸς, ἔχων τὰ ὑποδείγματα, φέρῃ γενναίως. οὐ πάσχοντας δὲ κακῶς μόνον, ἀλλὰ κ εὐπραγοῦντας σοι δείκνυσι πονηρούς, ἵνα μὴ ταῖς ἐκείνων εὐπραγίαις θορυβηθῇς, μαθὼν ἀπὸ τῆς τῦ πλουσίου τέλους συμβεβηκότων, εἰ αὐτὸς μὴ ταῦτα μένει τὸ πῦρ εἰ μὴ μεταβληθεῖεν.

Καὶ ἐκ ἔστι, φησί, κ ἐνταῦθα κ ἐκεῖ ἀνέσεως ἀπολαύειν; ἐκ ἔστι. διὰ τῦτο ἐνταῦθα οἱ δίκαιοι τὸν πόνον ἐδέξαντο ἵνα ἐκεῖ. τί οὖν, φησὶν, Ὁ Ἀβραάμ; κ τίς τοσαῦτα ἔπαθε δεινὰ; οὐχὶ τῆς παῤῥησίας ἐξέπεσεν, οὐχὶ τῆς οἰκείας ἐχωρίσθη

πάντων

πάντων, ἐκ ἐν ἀλλοδαπῇ γῇ λιμὸν ὑπέμεινεν, οὐχὶ καθάπερ
ἀλήτης συνεχῶς μετανίστατο ἀπὸ Βαβυλῶνος εἰς Μεσο-
ποταμίαν, κἀκεῖθεν εἰς Παλαιστίνην· εἶτα ἐντεῦθεν εἰς
Αἴγυπτον; τί ἂν τις εἴποι τὰς τῆς γυναικὸς, τοὺς τῆς Βα-
βαίρων πολέμους καὶ σφαγάς· τὴν αἰχμαλωσίαν τῆς τῶν συγ-
γενῶν οἰκίας, καὶ μυρία ἕτερα τοιαῦτα; ὅτι δὲ καὶ τὸν
υἱὸν ἔλαβεν, οὐ τὰ πάντων ἀνήκεστα ὑπέμεινε, τὸν αὐτῷ
ποθεινὸν καὶ ἐπέρχτον, ταῖς αὐτοῦ σφάξαι χερσὶ κελευό-
μενος;

Τί δαὶ αὐτὸς ὁ σφαγιασθεὶς Ισαὰκ; οὐχὶ πάντοθεν
ἀλαύνετο πρὸς τῆς ἡμέρας συνεχῶς, καὶ τὴν γυναῖκα ἀ-
φηρέθη, καθάπερ καὶ ὁ πατὴρ, καὶ ἐν παιδίᾳ τοσοῦτον
διέμεινε χρόνον;

Τί δὲ ὁ Ιακὼβ ὁ ἐν οἰκίᾳ βαφεὶς, οὐχὶ τῶ πάππου χα-
λεπώτερα ὑπέμεινε; καὶ ἵνα μὴ πάντα καταλέγοντες μα-
κρὸν ποιῶμεν τὸν λόγον, ἄκουσον τί φησι περὶ τῆς ἀπάσης
αὐτοῦ ζωῆς. μικραὶ καὶ πονηραὶ αἱ ἡμέραι μου, καὶ οὐκ ἀφίκε-
το εἰς τὰς ἡμέρας τῶν πατέρων μου.

Καὶ τοι τὸν ἰδὼν υἱὸν ὅπλα θείου βασιλικοῦ κεκτήμενον καὶ
τοσαύτης ἀπολαύοντα δόξης, ἐκ ἂν ἐπληρώθη τῶν παρελθου-
σῶν συμφορῶν; ἀλλ' ἔμοιγε ἐκεῖνος οὕτως ἦν τεταραγμένος,
ὡς μηδὲ ἐν εὐημερίᾳ τοσαύτῃ ὅπλα θέσθαι τῆς γεγενημέ-
νων ἀμνήστων.

Τί δὲ ὁ Δαβὶδ; πόσους ὑπέμεινε τραγῳδίας; οὐχὶ τὰ αὐ-
τὰ αὐτῷ καὶ οὗτος φθέγγεται λέγων; Αἱ ἡμέραι τῶν ἐτῶν
ἡμῶν ἐν αὐτοῖς ἑβδομήκοντα ἔτη, ἐὰν δὲ ἐν δυναστείαις, ὀγ-
δοήκοντα ἔτη, καὶ τὸ πλεῖον αὐτῶν κόπος καὶ πόνος.

Τί δὲ ὁ Ἱερεμίας; οὐχὶ καὶ τῶν ἡμέρων αὐτὸν τὸ γενέσιος
κατηρᾶτο διὰ τὰ ἐπάλληλα δεινά;

» Τί δὲ ὁ Μωυσῆς οὐχὶ καὶ αὐτὸς ἀπαγορεύων φησὶ Δπόκτεινόν με εἰ οὕτω μοι μέλλεις ποιεῖν;

» Ὁ δὲ Ἠλίας, ὁ ἀρετομίκης ψυχὴ, ὁ τὸν ἐυρανὸν ἀποκλείσας, οὐ μετὰ τὰ πολλὰ θαύματα θρηνῶν διετέλει πρὸς τὸν θεὸν, λέγων, αἶρον τὴν ψυχήν μου ἀπ' ἐμοῦ ὅτι οὐκ εἰμὶ ἀγαθίαν τῶν πατέρων μου; καὶ τί χρὴ τούτων ἕκαστον ὀπτέναι. πάντας γὰρ αὐτοὺς ἐμοῦ συναιρὼν ὁ Παυλος, διέξεισι λέγων, περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος.

» Καὶ ἁπλῶς πᾶσα ἀνάγκη τὰ μέλλοντα ἐυαρεστεῖν τῷ θεῷ καὶ δέκτιμον εἶναι, μὴ τὸ ἄκαιρον καὶ ὑγρὸν καὶ διαλελυμένον διώκειν βίον· ἀλλὰ τὸ ὀπίπονον, καὶ μόχθων γέμοντα καὶ ἱδρώτων. ἄκουε δὲ αὐτοῦ ἀλλαχοῦ λέγοντος. Οὐδεὶς στεφανοῦται ἐὰν μὴ νομίμως ἀθλήσῃ. καὶ ἐτέρωθι, πᾶς δὲ ὁ ἀγωνιζόμενος, πάντα ἐγκρατεύεται, καὶ ἀπὸ ῥημάτος φησὶ, καὶ ἀπὸ βλέμματος, καὶ ἀπὸ φωνῆς αἰσχρᾶς, καὶ ἀπὸ λοιδορίας, καὶ ἀπὸ βλασφημίας, καὶ ἀπὸ αἰσχρολογίας.

» Ἐντεῦθεν μανθάνομεν, ὅτι κἂν μυρίοις ἡμῖν ἐπενέχθῃ σωθῆναι ἔξωθεν, ἑαυτοὺς γυμνάζειν δεῖ καθ' ἑκάστην ἡμέραν πίστεως, σκληραγωγίας, ἐυτελεῖ τροφῇ, λιτῇ τραπέζῃ, τὰς πολυτελείας πανταχοῦ φεύγοντας, ἄλλως γὰρ οὐκ ἔστιν ἐυαρεστῆσαι θεῷ.

» Μὴ γάρ μοι τὸ ψυχρὸν ῥῆμα ἐκεῖνος λεγέτω τις, ὅτι καὶ τὰ ἐνταῦθα ὁ δεῖνα ἔχει καὶ τὰ ἐκεῖ. ἀμήχανον τοῦτο ὅπου γὰρ θλιβομένων ἐστὶν εἰπεῖν, γὰρ ἐν στενοχωρίᾳ, ὅτι καὶ τὰ ἐνταῦθα ἔχουσι, καὶ τὰ ἐκεῖ. τὰ μὲν γὰρ ἐκεῖ ἔχουσιν, ἀμείζονας ἀπολαύοντες· τὰ δὲ ἐνταῦθα ταῖς ἐλπίσιν ἐκείνων συμπε-

φύμενοι,

φόμενοι, καὶ οὐ λαμβάνοντες αἴσθησιν τῆς παρόντων θεινῶν τῇ προσδοκίᾳ τῆς μελλόντων ἀγαθῶν. ἀλλ' ἀκούσωμεν καὶ τῆς ἐξῆς.

Ἐπὶ πᾶσι δὲ τούτοις χάσμα μέγα ἐστήρικται, φησὶν, ἀνὰ μέσον ἡμῶν καὶ ὑμῶν. καλῶς εἶπεν ὁ Δαβὶδ ὅτι " ἀδελφὸς οὐ λυτροῦται, οὐδὲ μὴν ἄνθρωπος, κἂν ἀδελφὸς, κἂν " πατὴρ ᾖ, κἂν υἱός. ὅρα γὰρ τέκνον ἐκέλευσεν ὁ Ἀβραὰμ τὸν πλούσιον, καὶ τὰ πατρὸς ὀπισθείξασθαι καὶ ἴχνη, πατέρα προσεῖπεν τὸν Ἀβραὰμ ὁ πλούσιος, καὶ ὡς εἰκὸς ἀπολαῦσαι τέκνον πατρικῆς εὐνοίας· καὶ ἐλυπήθη, ἵνα μάθῃς ὅτι οὔτε συγγένεια, οὔτε φιλία, οὔτε ἄλλος τις τῆς οἰκείων ὀνήσασθαι δύναται τὸν ἀπὸ τ' οἰκείας ζωῆς πορθούμενον.

Ταῦτα λέγω, ἐπειδὴ πολλοὶ πολλάκις ἡμῶν παρχιτωνίτων προσέχειν ἑαυτοῖς καὶ νήφειν, ῥαθυμοῦσι καὶ εἰς γέλωτα τὴν παραίνεσιν ἐκβάλλουσιν, λέγοντες. σύμου πορεύῃ, φησί; Κατ' ἐκείνην τὴν ἡμέραν καὶ θαρρῶ καὶ οὐ δέδοικα. πάλιν ἄλλος, πατέρα μάρτυρα ἔχω. καὶ ἕτερος, πάππον ὁπίσκοπον. ἄλλοι πάλιν τοὺς τῆς οἰκίας τῆς ἑαυτῶν προβάλλονται. ἀλλὰ πάντα ψυχρὰ ταῦτα τὰ ῥήματα. οὐδὲ γὰρ ἡμᾶς ἡ ἑτέρων αἰτία ὠφελῆσαι τότε δυνήσεται.

Ἀκηκόασι τῆς παρθένου ἐκείνου αἱ ταῖς πέντε παρθένοις οὐ μεμίσηκεν τὸ ἔλαιον, ἀλλ' αἱ μὲν εἰσῆλθον εἰς τὸν νυμφῶνα, αἱ δὲ ἀπεκλείσθησαν. μέγα ἀγαθὸν ὡ τοῖς οἰκείοις κατορθώμασι τὰς ἐλπίδας τ' σωτηρίας ἔχειν· φίλος δὲ ἐκεῖ οὐδεὶς οὐδέποτε πρόσεστιν.

Εἰ γὰρ ἀπειλῶν φησὶ τῷ Ἱερεμίᾳ, μὴ αἴτει περὶ τοῦ λαοῦ " τούτου

τούτου, ἐνθα κύριοι τ μεταβαλέσθ πολλῷ μᾶλλον ἐκεῖ. τί λέγῃς; πατέρα μάρτυρα ἔχῃς; αὐτὸ μὴν ἂν σε τοῦτο μᾶλιστα καταδικάσαι δυνήσεται πλέον, ὅταν οἴκοθεν ἔχων τὰ παραδείγματα τ ἀρετῆς, ἀνάξιον σεαυτὸν τ φρονήσεως παρέχῃς ἀρετῆς. ἀλλὰ φίλον γνήσιον καὶ θαυμαστόν; οὐσὶ δ' ὅτος σοι παρασήσει) τότε.

" Γῶς οὖν φησὶ, ποιήσατε ὑμῖν φίλους ἐκ τοῦ μαμμωνᾶ τ ἀδικίας, ἵν' ὅταν ἐκλίπητε, δέξανται ὑμᾶς εἰς τὰς " αἰωνίους σκηνάς; οὐχ ἡ φίλια ἐστὶν ἡ φοβερὰ μόνη, ἀλλ' ἡ ἐλεημοσύνη. ἐὰν γὰρ ἡ φιλία μόνη φοβερὰ ἦ, ἴσως ἁπλῶς εἰπεῖν, ποιήσατε ὑμῖν φίλους. νυνὶ δὲ δέδοικε ὅτι οὐχ ἡ φιλία μόνη φοβερά) φοβερὸν ἔδειξεν ἐκ τοῦ μαμμωνᾶ τ ἀδικίας. Καί τοι ἴσως εἴποι τις ἄν, ὅτι δυνάμει χωρὶς τοῦ μαμμωνᾶ ποιῆσαι φίλον καὶ ἀσυνδιαιρετώτερον μᾶλλον τοῦ μαμμωνᾶ. ἀλλ' ἵνα μάθῃς ὅτι ἐλεημοσύνη ἐστὶν ἀφοβοφιλία, καὶ τὸ ἔργον τὸ σὸν, καὶ τὸ κατόρθωμα, ἐκ ἐν ταῖς φιλίαις τὰς ἀγίους ἁπλῶς, ἀλλ' ἐν ταῖς φιλίαις ταῖς διὰ τοῦ μαμμωνᾶ γινομέναις ἔπεσί σε θαρρεῖν.

Ἄγωμεν ἅπαντα εἰδότες, ἀγαπητοὶ, φορτίζωμεν ἑαυτοῖς μὴ ἀκριβείας ἀπάσης, κἂν κολαζώμεθα οὐχαριστῶμεν, κἂν ἐν ὀλιγωρίᾳ διάγωμεν ἀσφαλιζώμεθα ἑαυτούς, καὶ ταῖς ἑτέρων τιμωρίαις σωφρονιζόμενοι, διὰ μετανοίας καὶ κατανύξεως καὶ συνεχοῦς ἐξομολογήσεως οὐχαριστῶμεν. Καὶ εἴ τι πεπλημμέληται, κατὰ τὸν παρόντα βίον ἡμῖν ἀποθέμενοι, καὶ μετὰ πολλῆς τῆς ἀσυδησίας πᾶσαν τῆς ψυχῆς ἡμῶν ἀποσμήξαντες τὸ κηλῖδα, παρακαλῶμεν τὸν θεὸν καταξιῶσαι πάντας ἡμᾶς ἐντεῦθεν διαλυσαμένους, οὕτως ἀπελθεῖν ἐκεῖσε, ἵνα μὴ μετὰ

τῦ

τοῦ πλουσίου, ἀλλὰ μετὰ τοῦ Λαζάρου τῆς τῶ παραδείσου
πόλεως ἀπολαύσαντες, τοῖς ἀθανάτοις ἐντυφω-
μεν ἀγαθοῖς. ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυ-
χεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυ-
ρίου ἡμῶν Ἰησοῦ χριστοῦ, μεθ'
οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα
τῷ ἁγίῳ πνεύματι,
εἰς τοὺς
αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

ΤΟΥ ΑΥΤΟΥ ΕΙΣ ΤΗΝ ΚΑΤΑ ΤΟΝ πολύσπον καὶ εἰς τὸν πλησὸν Λάζαρον παραβολὴν λόγος Δ' καὶ ὅτι τὸ συνειδὸς εἰώθειν ἡμᾶς ἀναμιμνήσκειν παλαιὰ ἁμαρτήματα. καὶ εἰς Ἰωσήφ.

***

Τῆς τοῦ Λαζάρου παραβολῆς τὸ τέλος ἀνάγκη τὴν μέσην ἀποδύναι. ὑμεῖς μὲν γὰρ ἴσως τὸ πᾶν ἡμῖν ἀπηρτῆσθαι νομίζετε, οὐ μὴν ἔγωγε χρήσομαι ὑμῶν εἰς ἀπάτην τὴν ἀγνοίαν, οὐδὲ ἀποχήσομαι πρότερον, ἕως ἂν τὸ φαινόμενον ἅπαν ἀπίλθω λαβών.

Ἐπεὶ καὶ γεωργὸς τῆς ἀμπέλου τρυγηθείσης ἁπάσης, οὐ πρότερον ἀφίσταται, ἕως ἂν καὶ τὰς ῥίζας ἐκτίμῃ. ἐπεὶ ἐκεῖ ὁρᾷ ἄδηλον ὑπὸ φύλλοις τοῖς χαίμαισιν ἐναποκεκρυμμένα νοήματα ἔτι, φέρε κἀκεῖνα, ἀντὶ δρεπάνης, τῷ λόγῳ χρησάμενοι, πάλιν μετ' ἀκριβείας ἅπαντα τρυγήσωμεν.

Ἄμπελος μὲν γὰρ τρυγηθεῖσα καθάπαξ, ἔρημος γυμνὴ τοῦ καρποῦ φύλλα ἔχουσα μόνον· ἡ δὲ ἄμπελος ἡ πνευματικὴ τῆς θείων γραφῶν οὐχ οὕτως. ἀλλ' ἂν τὸ φαινόμενον ἐκλάβωμεθα, τὸ πλέον ἐναπομένει πάλιν.

Πολλοὶ γοῦν μὲν καὶ τῶν ἡμῶν εἰς ταύτην εἰρήκασι τὴν ὑπόθεσιν, πολλοὶ καὶ μεθ' ἡμᾶς ἴσως ἐροῦσιν. ἀλλ' οὐδεὶς τὸν ἅπαντα πλοῦτον κατῆσαι δυνήσεται. τοιαύτη γὰρ τῆς περουσίας ταύτης ἡ φύσις, ὅσῳπερ ἂν διασκάψῃς αὐτῆς βάθει, τοσούτῳ πλέον ἀναβλύσει τὰ θεῖα νοήματα. πηγὴ γάρ ἐστιν οὐδέποτε ἐπιλείπουσα.

Καὶ ἔδει μὲν τῇ προτέρᾳ σωπᾶζειν τέτο ὑμῖν ἀποδύναι τὸ χρέος, ἀλλ' ἐκ ἀσφαλὲς εἶναι ἡγησάμην, τὸ μακρολογῶν

Βαβύλα

βαλώμεθα καὶ τὴν ξυναρίθμησιν τῆς ἁγίας μαρτύρων τῆς μετ' ἐκείνου παραλθεῖν τὰ κατορθώματα. διὸ τῶν κατειβολὴν ἐσπουδάσμεθα, τηρεῖν τε εἰς τὸν παροῦσαν ὑμῖν ἡμέραν ὀλίγα λόγον τινὰ ἔκτισιν.

Φέρε δῆν, ἐπειδὴ καὶ τοῖς πατράσι τὰς εὐφημίας ἀποδεδώκαμεν, οὐ τὰς κατ' ἀξίαν τὸ ἐπείνων, ἀλλὰ τὰς κατὰ δύναμιν τὴν ἡμετέραν, ἀποδῶμεν καὶ ὑμῖν τῆς διηγήματος τοῦτο τὸ λείψανον. ἀλλὰ μὴ δόπου φθάσωμεν ἕως ἂν τοῦς τὸ τέλος ἀφικώμεθα, ἐκεῖθεν ἀναλαβόντες τὸν λόγον, ἐνθαῦτα αὐτὸν καταλίπωμεν ἀφόβως. πῶς δὲ αὐτὸν καταλίπωμεν; ἐν τῷ χάσματι τῷ διείργοντι τοὺς δικαίους ἀπὸ τῆς ἁμαρτωλῶν. εἰπόντος γὰρ τοῦ πλουσίου, πέμψον Λάζαρον, εἶπεν πρὸς αὐτὸν ὁ Ἀβραάμ. χάος μέγα ἐστήρικται μεταξὺ ἡμῶν καὶ ὑμῶν, ὥστε οἱ θέλοντες διαβῆναι ἐκεῖθεν πρὸς ὑμᾶς μὴ δύνανται, μηδὲ οἱ ἐντεῦθεν ἐκεῖ διαπερᾶσι.

Καὶ ἰδεῖ κινυνῶ διὰ πολλῶν τῆς εἰρημένων, ὡς ὅτι μετὰ τῶν τοῦ θεοῦ φιλανθρωπίαν, ἐν τοῖς οἰκείοις κατορθώμασι τὰς ἐλπίδας τῆς σωτηρίας ἔχειν χρὴ, μὴ πατέρας καὶ πάππους ἀριθμουμένους, μηδὲ συγγενεῖς, καὶ φίλους, καὶ οἰκείους, καὶ γείτονας. ἀδελφὸς γὰρ οὐ λυτρώσεται, λυτρώσεται ἄνθρωπος; ἀλλ' ὅσοι ἂν παρακαλέσωσι καθικετεύσωσιν οἱ μετὰ ἁμαρτημάτων ἐντεῦθεν ἀπελθόντες, πάντα εἰκῆ καὶ μάτην λοιπὸν ἐροῦσι.

Καὶ γὰρ αἱ παρθένοι αἱ φρόνιμοι, παρεκάλεσαν τὰς μωρὰς ὑπὲρ ἐλαίου, καὶ οὐκ ἐπέτυχον. καὶ ὁ τὸ τάλαντον κατακρύψας τὸ ἐν τῇ γῇ, πολλὰ δεηθεὶς, κατεκρίθη.

Πάλιν οἱ μὴ θρέψαντες αὐτὸν πρωτοῦντα, μηδὲ ποτὲ

σαντες διψῶντα, κὴ ὗτοι δοκοῦντες εἰς ἄγνοιαν καταφεύ-
γειν, οὐδὲ ἐκεῖνοι συγγνώμης κὴ ἀπολογίας ἔτυχον. ἐπερσι δὲ
οὐδὲ εἰπεῖν τι ἴσχυσαν. ὥσπερ ἐκεῖνος ὁ τὰ ῥυπαρὰ ἐνδι-
δυμένος ἱμάτια ἐγκαλούμενος γὰρ ἐσίγα. οὐχ ὗτος δὲ μό-
νον, ἀλλὰ κὴ ἄλλος τῷ πλησίον μνησικακήσας, κὴ ἑκατὸν ἀ-
παιτήσας δηνάρια, εἶτα ὑπὲρ τούτων αὐτῶν φαρὰ τῦ
δεσπότου ἐγκαλούμενος ὅτι ὠμότητι καὶ ἀπανθρωπίᾳ,
οὐδὲν ἔσχεν εἰπεῖν. ὅθεν δῆλον ὅτι οὐδὲν ἡμῶν ἐκεῖ προσήσεται, ἐὰν ἔργα μὴ ἐνέγκωμεν ἀγαθά. ἀλλ' ἄντε κατηγο-
ρεύωμεν κὴ παρακαλῶμεν, ἄντε σιγῶμεν, ὁμοίως ἐφ' ἡμᾶς
ἥξει τὰ τῆς κολάσεως, κὴ τὰ τῆς τιμωρίας.

Ἀκούσον γοῦν πῶς καὶ ὗτος αἰτήσας αἰτήσεις δύο τὸν
Ἀβραὰμ, ἀμφοτέρων ἀπέτυχε. πρότερον μὲν γὰρ ὑπὲρ
ἑαυτῦ τὴν ἱκετηρίαν ἐποιεῖτο, λέγων, πέμψον Λάζαρον· ὕ-
στερον δὲ οὐκ ἔτι ὑπὲρ ἑαυτῦ, ἀλλὰ ὑπὲρ τῶν ἀδελφῶν.

Ἀλλὰ οὐδεμίαν ἤνυσεν αἴτησιν. ἡ μὲν γὰρ ἦν ἀσωμάτος ἡ
πρώτερα, ἡ δευτέρα δὲ περιττὴ, ἡ ὑπὲρ τῶν ἀδελφῶν. πλὴν
ἀλλὰ, εἰ δοκεῖ, κὴ αὐτῶν ἀκούσωμεν τῶν ῥημάτων μετὰ πολ-
λῆς τῆς ἀκριβείας.

Εἰ γὰρ ἄρχοντος ἐν ἀγορᾷ μέσῃ κατάδικον ἀγαγόντος,
κὴ δημίους περιστήσαντος κὴ καταξαίνοντος τὸν ὑπεύθυνον,
μετὰ πολλῆς τῆς προθυμίας σωτηρίαν ἔχουσιν ἅπαντες ἀκοῦ-
σαι βουλόμενοι, τί μὲν ὁ δικαστὴς ἐρωτᾷ, τί δὲ ὁ κατάδικος
ἀποκρίνεται· πολλῷ μᾶλλον ἐνταῦθα μετὰ ἀκριβείας ἀ-
κούειν χρή, τί μὲν ὁ κατάδικος ὗτος, ὁ πλούσιος λέγω ἀ-
ξιοῖ, τί δὲ ὁ δίκαιος δικαστὴς ἀποκρίνεται διὰ τῦ Ἀβρα-
ὰμ. οὐ γὰρ ὁ πατριάρχης ἦν ὁ δικάζων, εἰ καὶ αὐτὸς ἐφ-
θέγγετο.

Ὥσπερ οὖν ὅπου τὴν ἐξουσίαν δικαστηρίων τούτων, ὅταν

ὦσι

ὧσί τινες ὑπεύθυνοι λησταὶ καὶ ἀνδραποδισταί, πόρρω τῆς ὄψεως τῶ δικάζοντος ἀποστήσαντες τούτους οἱ νόμοι, τῆς τῶ κρίνοντος ἐκ ὀφθαλμοῦσιν ἀκοῦσαι φωνῆς (καὶν τούτῳ μετὰ τῶν ἄλλων αὐτοὺς ἀτιμάζοντες) ἀλλὰ μέσος τις διακονεῖ ταῖς ἐρωτήσεσι τοῦ δικάζοντος, καὶ ταῖς ἀποκρίσεσι τῶν δικαζομένων, οὕτω δὴ καὶ τότε ἐγίνετο. οὐ τῶ θεοῦ φθεγγομένου πρὸς αὐτὸν ἤκουεν ὁ κατάδικος, ἀλλὰ μέσος ἦν ὁ Αβραὰμ τὰ παρὰ τῶ δικάζοντος διακονούμενος τῶ δικαζομένῳ. οὐ γὰρ ὅπως ἔλεγεν ἅπερ ἔλεγεν, ἀλλὰ θείους ἀνεγίνωσκε νόμους αὐτῷ, καὶ τὰς ἄνωθεν φερομένας ἔλεγεν ἀποφάσεις. διόπερ οὗτος οὐδὲ ἀντιλέγειν εἶχε.

Πρόσχωμεν τοίνυν μετὰ ἀκριβείας τοῖς λεγομένοις. καὶ γὰρ ὀπίτηδες ἐνδιατρίβω ταύτῃ τῇ παραβολῇ, καὶ τετάρτην ἡμέραν ἔχων ἐκ ἀφίσταμαι, ἐπειδὴ καὶ πολὺ τὸ κέρδος ἐκ τούτου τῶ διηγήματος ὁρῶ γινόμενον καὶ πλουσίοις καὶ πένησι, καὶ τοῖς ὑπὲρ τῆς τῶν πονηρῶν εὐπραγίας, καὶ τὰ τῶν δικαίων πενίας καὶ θλίψεως θορυβουμένοις.

Καὶ γὰρ οὐδὲν οὕτω τοὺς πολλοὺς σκανδαλίζειν εἴωθε καὶ ταράττειν, ὡς τὸ πλουσίους ἐν πονηρίᾳ ζῶντας εὐημερίας ἀπολαύειν πολλῆς, καὶ δικαίους μετὰ ἀρετῆς ζῶντας, πρὸς ἰσχάτην ἐληλακέναι πενίαν, καὶ ἕτερα μυρία μετὰ τῆς πενίας ὑπομένειν χαλεπώτερα πράγματα.

Ἀλλὰ αὕτη ἱκανὴ ἡ παραβολὴ παρασχεῖν τὰ φάρμακα. τοὺς μὲν πλουτοῦντας σωφρονίζουσα, τοὺς δὲ πένητας παραμυθουμένη· ἐκείνους μὲν παιδεύουσα μὴ μεγαφρονεῖν, τοὺς δὲ πένητας παραμυθουμένη ὅτι τοῖς παροῦσι κἀκείνους μὲν μὴ μεγαλαυχεῖν πείθουσα, ὅταν πονηρευόμενος μὴ δῶσιν ἐνταῦθα δίκην, ὡς χαλεπωτάτης ἀπαντησομένης αὐτοῖς ἐκεῖ τῆς τιμωρίας, τούτους δὲ παρακαλοῦσα,

μὴ ταῖς

μὴ ταῖς ἑτέρων εὐπραγίαις θρυβεῖσθαι, μηδὲ νομίζειν ἀπροσκόπτα εἶναι τὰ καθ' ἡμᾶς, ὅταν δίκαιος μὲν ἐνταῦθα πάσχῃ κακῶς, πονηρὸς δὲ καὶ μιαρὸς ἄνθρωπος εὐημερίας ἀπολαύῃ δικαίκοῦς. ἀμφότεροι γὰρ τὸ κατ' ἀξίαν ἀπολήψονται ἐκεῖ. ὁ μὲν τὰς στεφάνους τῆς ὑπομονῆς καὶ τῆς καρτερίας, ὁ δὲ τὰς κολάσεις καὶ τὰς τιμωρίας.

Ταύτην τὴν παραβολὴν ἐγχάραττε οἱ πλούσιοι ἐν τοῖς τοίχοις τῆς ἡμετέρας διανοίας, καὶ ἐξαλειφθῇ ποτε λήθης ἐγγινομένης, ὀπτχίσατε πάλιν διὰ τῆς μνημῆς ἀναθεν. μᾶλλον δὲ καὶ πάντες ωεὸ τῆς οἰκείας διανοίας ἀντλῶ διαχεάψατε καὶ σωεχῶς περιφέρετε, καὶ ἔσται διδασκάλιον ὑμῖν καὶ ὑποθέσις φιλοσοφίας ἀπάσης.

Ἀν γὰρ ταύτῃω δικαίκῶς ἐγγεγραμμένῃω ἔχωμεν ἐν τῇ διανοίᾳ, οὔτε τὰ περιχαρῆ τῶ παρόντος βίου ἡμᾶς φυσῆσαι δυνήσεται, οὔτε τὰ λυπηρὰ ταπεινῶσαι καὶ καθελεῖν. ἀλλὰ ὥωσπερ ἐν ταῖς ζωγραφίαις ταῖς ἐν τοῖς τοίχοις, οὕτω ωεὸς ἑκάτερα τεύτα διακεισόμεθα.

Καθάπερ γὰρ ἐν τοῖς τοίχοις γεγραμμένον ὁρῶντες πλούσιον καὶ πένητα, οὔτε ἐκείνῳ φθονοῦμεν, οὔτε τῶ πένητος ὑπερφρονῶμεν, διὰ τὸ σκιὰν, ἀλλὰ μὴ ωραγμάτων ἀλήθειαν εἶναι τὰ ὁρώμενα· οὕτω καὶ πλούτου καὶ πενίας, καὶ δόξης καὶ ἀτιμίας, καὶ τῆς ἄλλων ἁπάντων τῆς τε σπυθρωπῆς καὶ φαιδρᾶς τύχης ἐν κατανοήσωμεν, τὸ ἐξ ἑκάστου τούτων ἐγγινόμενος ὑμῖν ἀναμαλίας ἀπαλλαγησόμεθα. σκιᾶς γὰρ ἔστιν ἀπατηλότερα ἅπαντα ταῦτα, καὶ τὸ ὑψηλὸν καὶ γενναῖον οὐδὲν οὔτε τῆς λαμπρᾶς καὶ ὀπτῆς ἰπαρᾶς, οὔτε τῆς ταπεινᾶς καὶ ἀπερρωμένης συσκίλας δύναται.

Ἀλλὰ γὰρ ωερ λοιπὸν καὶ τῆς ῥημάτων ἀκριβείας τῆς τε

πλεω

πλουσίου· ἐρωτῶ σε φησὶν, πάτερ τουτέστι παρακαλῶ, "
δέομαι, ἱκετεύω, ἵνα πέμψῃς εἰς τὸν οἶκον τοῦ πατρός μου "
Λάζαρον· εἰσὶ γὰρ μοι πέντε ἀδελφοὶ, ἵνα διαμαρτύρηται "
αὐτοῖς ὅπως μὴ ἔλθωσιν εἰς τὸν τόπον τοῦτον τῆς βασάνου. "

Ἐπειδὴ τῆς καθ' ἑαυτὸν ἀπέτυχεν, ὑπὲρ ἑτέρων ποιεῖται τὴν ἱκετηρίαν. ὅρα πῶς φιλάνθρωπος ἡ ἡμερος γέγονεν ὑπὸ τῆς κολάσεως. ὁ γὰρ τῷ Λαζάρου καταφρονῶν παρόντος, ἑτέρων ἅπάντων φροντίζει· ὁ τὸν περὶ τῶν ὀφθαλμῶν κείμενον παρατρέχων, τῆς οὐχ ὁραμένων μέμνηται καὶ μετὰ πολλῆς ἀξιοῖ τῆς σπουδῆς, ὥστε γενέσθαι τινα αὐτῶν σωτῆρα, σοὶ ἀπαλλαγὴν τῆς καταληψομένων αὐτοὺς κακῶν.

Καὶ παρακαλεῖ πεμφθῆναι τὸν λάζαρον εἰς τὸν οἶκον τοῦ πατρὸς αὐτῶν, ἵνθα τὰ σπέρματα ἦν αὐτῷ, καὶ τὸ στάδιον ἀνεπόγει τὴν ἀρετῆς. ἐκεῖνοι βλεπέτωσαν αὐτὸν στεφανούμενον, φησὶν, οἱ θεασάμενοι ἀγωνισάμενον· οἱ μάρτυρες αὐτῶν τῆς πηνίας καὶ τῶν λιμοῦ, καὶ τῆς μυρίων κακῶν, γενέσθωσαν μάρτυρες τῆς τιμῆς, τῆς μεταβολῆς, τῆς δόξης ἀπάσης· ἵνα ἐκατέρωθεν παιδευθέντες καὶ μαθόντες, ὅτι οὐ μέχρι τοῦ παρόντος βίου τὰ ἡμέτερα κήσεται πράγματα, ἀλλὰ παρασκευάσωνται, ὡς δυνηθῆναι ταύτῃ τῇ κόλασιν φυγεῖν καὶ τῇ τιμωρίαν.

Τί οὖν ὁ Ἀβραάμ; ἔχουσι Μωυσέα, καὶ τοὺς προφήτας, ἀκουσάτωσαν αὐτῶν. οὐχ οὕτω φησὶ, σὺ κἀγὼ τῆς ἀδελφῶν σου, ὡς ὁ ποιήσας αὐτοὺς θεὸς. μυρίας αὐτοῖς ἐπέχουσι διδασκάλους παρχινοῦντας, συμβουλεύοντας, νουθετοῦντας. τί οὖν αὐτὸς πάλιν; οὐχὶ πάτερ Ἀβραάμ, ἀλλὰ ἐάν τις ἀπὸ νεκρῶν ἀπέλθῃ, αὐτῷ πιστεύσουσι.

Ταῦτα δὴ τὰ τῆς πολλῶν ῥήματα. ποῦ νυν εἰσὶν οἱ λέγοντες τίς ἦλθεν ἐκεῖθεν; τίς ἐκ τῶν νεκρῶν ἀνέστη; τίς εἶπεν

τοῦ

τὰ ἐν ᾅδου; πόσα τοιαῦτα καὶ τηλικαῦτα πρὸς ἑαυτὸν εἶπεν ὁ πλούσιος ἐκεῖνος ἡνίκα ἐτρύφα; οὐδὲ γὰρ ἁπλῶς παρεκάλεσεν ἀναστῆναί τινα ἐκ τῶν νεκρῶν, ἀλλ' ἐπειδὴ τῶν γραφῶν ἀκούων καταφρονεῖ, κατεγέλα, μύθους εἶναι νόμιζε τὰ λεγόμενα, ἀφ' ὧν ἴσως αὐτὸς ἔπασχε, καὶ περὶ τῶν ἀδελφῶν ἐνόμιζεν· κἀκεῖνοι φησὶν οὕτως ὑποπτεύουσιν. ἐὰν δέ τις ἀπὸ νεκρῶν ἀπέλθῃ, οὐκ ἀπιστήσουσιν αὐτῷ, οὐδὲ καταγελάσονται, ἀλλὰ μᾶλλον τοῖς λεγομένοις προσέξουσι.

Τί οὖν ὁ Ἀβραάμ; εἰ μωσέως καὶ τῶν προφητῶν οὐκ ἀκούουσιν, οὐδὲ ἐὰν τις ἐκ νεκρῶν ἀναστῇ ἀκούσονται. καὶ ὅτι τοῦτό ἐστιν ἀληθὲς, ὅτι ὁ τῶν γραφῶν οὐκ ἀκούων, οὐδὲ νεκρῶν ἀνισταμένων ἀκούσεται, ἔδειξαν Ἰουδαῖοι, οἱ ἐπειδὴ μωσέως οὐκ ἤκουσαν, καὶ τῶν προφητῶν, οὐδὲ νεκροὺς ἀναστάντας ἰδόντες ὤπίστευσαν· ἀλλὰ καὶ μὴ ἀναιρεῖν τὸν Λάζαρον ἐπεχείρουν, καὶ δὲ τοῖς Ἀποστόλοις ἐπεπήδων, καίτοι πολλῶν ἀναστάντων νεκρῶν ἐν τῷ καιρῷ τοῦ σταυροῦ.

Ἵνα δὲ καὶ ἑτέραθεν μάθῃς ὅτι ἀξιοπιστοτέρα ἡ τῶν προφητῶν διδασκαλία τῆς ἀνισταμένων ἀπαγγελίας, ἐκεῖνο σκόπησον, ὅτι νεκρὸς μὲν ἅπας δοῦλός ἐστιν. ἃ δὲ αἱ γραφαὶ φθέγγονται, ταῦτα ὁ δεσπότης ἐφθέγξατο. ὥστε κἂν νεκρὸς ἀναστῇ, κἂν ἄγγελος ἐξ οὐρανοῦ καταβῇ, πάντων ἴσασιν αἱ γραφαὶ ἀξιοπιστότεραι. ὁ γὰρ τῶν ἀγγέλων δεσπότης καὶ τῶν νεκρῶν, καὶ τῶν ζώντων κύριος, αὐτὰς ἐκείνας ἐνομοθέτησε. καὶ ὅτι περιπλὰ ζητοῦσιν οἱ ζητοῦντες νεκροὺς ἐκεῖθεν ἐλθεῖν, πρὸς τοῖς εἰρημένοις, καὶ ἀπὸ τῶν παρόντων ἔστι δεῖξαι δικαστηρίων τοῦτο.

Ἡ γέεννα ἀφανὴς τοῖς ἀπίστοις, τοῖς γὰρ πιστοῖς ἐστι δήλη καὶ φανερά. δικαστήρια δὲ φανερὰ καθ' ἑκάστην ἡμέραν ἀκούομεν, ὅτι ὁ δεῖνα ἐκολάσθη, τοῦ δεῖνος ἡ οὐσία ἐδημεύθη

ἕτερος

ἕτερος τὰ μέταλλα ἐργάζεται, ἄλλος κατακαὴς πυρί, ἄλλος ἑτέρῳ τρόπῳ κολάσεως καὶ τιμωρίας ἀπώλετο. ἀλλ' ὅμως ταῦτα ἀκούοντες οἱ πονηροὶ καὶ κακοῦργοι καὶ γόητες, οὐ σωφρονίζονται. κἀ τί λέγω εἰ οἱ μηδέποτε τούτοις περιπεσόντες οὐ σωφρονίζονται; πολλάκις πολλοὶ τούτων ἀλόντες καὶ διαρυγόντες τὴν κόλασιν, κἀ τὸ δεσμωτήριον διορύξαντες κἀ ὑποπηδήσαντες, πάλιν τοῖς αὐτοῖς ἐπέδοντο, καὶ πολλῷ χαλεπώτερα τούτων εἰργάσαντο.

Μὴ τοίνυν ζητῶμεν παρὰ νεκρῶν ἀκούειν ταῦτα, ἃ πολλῷ σαφέστερον αἱ γραφαὶ καθ' ἑκάστην ἡμᾶς παιδεύουσι τὴν ἡμέραν. εἰ γὰρ ἤδει τοῦτο ὁ θεός, ὅτι νεκροὶ ἀνιστάμενοι τοὺς ζῶντας ὠφέλησαν, οὐκ ἂν παρέλιπεν, οὐδ' ἂν παρῆκε τοσοῦτον κέρδος, ὁ πάντα ἡμῖν πρὸς τὸ συμφέρον πραγματεύομενος.

Χωρὶς δὲ τούτων, εἰ συνεχῶς ἔμελλον ἀνίστασθαι νεκροὶ κἀ πάντα ἀπαγγέλλειν ἡμῖν, καὶ τοῦτο ἂν τῷ χρόνῳ κατεφρονήθη πάλιν. πρὸς δὲ τούτοις καὶ πονηρὰ ἂν εἰσήγαγε δόγματα ὁ διάβολος μετὰ πολλῆς τῆς εὐκολίας. εἴδωλα γὰρ ἠδύνατο δεικνύναι πολλάκις, ἢ παρασκευάζων τινὰς ὑποκρίνασθαι θάνατον κἀ κατορύττεσθαι, κἀ δεικνύναι πάλιν ὡς ἐκ νεκρῶν ἀναστάντας, καὶ δι' ἐκείνων ὅσα ἐβούλετο πιστεύεσθαι τοῖς τῶν ἀπατωμένων διανοίαις.

Εἰ γοῦν νῦν οὐδενὸς ὄντος τοιούτου, ὄνειροι πολλάκις φανέντες ἐν τύποις τῶν ἀπελθόντων, πολλοὺς ἠπάτησαν κἀ διέφθειραν· πολλῷ μᾶλλον εἰ τοῦτο γεγενημένον εἶδε κἀ κεκρατηκὸς ἐν ταῖς τῶν ἀνθρώπων διανοίαις· ὅιον, ὅτι πολλοὶ τῶν ἀπελθόντων ἐπανῆλθον πάλιν· μυρίους ἂν ὁ μιαρὸς δαίμων ἐκεῖνος δόλους ἔπλεξε, κἀ πολλοὺς ἀπάτησεν εἰς τὸν βίον εἰσήγαγε. διὰ τοῦτο ἀπέκλεισε τὰς θύρας ὁ θεὸς κἀ οὐκ ἀφῆκέ τινα τῶν ἀπελθόντων ἐπανελθόντα εἰπεῖν τὰ ἐκεῖ, ἵνα μὴ

λαβὼν

λαβὼν ἀφορμὴν ἐντεῦθεν ἐκεῖνος, τὰ παρ' ἑαυτῦ πάντα εἰσαγάγῃ.

Καὶ γὰρ ὅτι ψευδοπροφῆται ἦσαν, ψευδοπροφήτας ἦγεν· καὶ ὅτι ψευδαπόστολοι ψευδαποστόλους· καὶ ὅτι χριστὸς ἐφάνη, ψευδοχρίστους· καὶ ὅτι δόγματα εἰσηνέχθη ὑγιῆ, διεφθαρμένα εἰσηγαγε, τὰ ζιζάνια πανταχοῦ διασπείρων· ὥστε κἂν τῦτο σωιδῇ, καὶ τῦτο ἐπιχείρησεν ἂν ὑποκρίνασθαι διὰ τῆς οἰκείας ὀργάνων, οὐχὶ νεκρους ἀληθῶς ἀνιστὰς, ἀλλὰ μαγγανείαις τισὶ καὶ ἀπάταις τὰς τῶν ὁρώντων ἀπατῶν ὄψεις, ἃ καί τινας παρασκευάζων, ὥσπερ ἔφθην εἰπὼν, ὑποκρίνεσθαι τελευτιῶ, ἄνω κάτω πάντα ἐποίησεν ἂν καὶ συνέχειν.

Ἀλλὰ ὁ θεὸς ἅπαντα ταῦτα προειδὼς, ἀπετείχισεν αὐτῷ τιὼ ὀπῆ βλιῶ τάυτιω, καὶ φειδόμενος ἡμῶν ὐ συνεχώρησεν ἐλθόντι τινὶ πότε ἐκεῖθεν περὶ τῆς ἐκεῖ διαλεχθῆναι τοῖς ζῶσιν ἀνθρώποις· παιδεύων ἡμᾶς πάντων ἀξιοπιστοτέρας ἡγεῖσθαι τὰς θείας γραφάς.

Πολὺ γὰρ τ τῆς νεκρῶν ἀναστάσεως σαφέστερα ἡμῖν ἔδειξε προφήματα· τὴν οἰκουμένην ἐπέστρεψεν ἅπασαν, τιὼ πλάνω ἀπήλασε, τιὼ ἀλήθειαν ἐπαίηγαγε, δι' ἀλιέων καὶ ἐυτελῶν ἀνθρώπων ταῦτα πάντα κατώρθωσε, καὶ ἱκανὰς ἀποδείξεις τῆς ἑαυτῦ προνοίας πανταχοῦ παρέχεν ἡμῖν.

Μὴ τοίνυν μέχρι τῦ παρόντος βίου τὰ ἡμέτερα συγκλείωμεν νομίζωμεν, ἀλλὰ πιστεύωμεν ὅτι πάντως ἔσται κρίσις καὶ ἀνταπόδοσις τῆς ἐνταῦθα παρ' ἡμῶν γινομένων ἁπάντων.

Τοῦτο γὰρ ἔυτως ἐστι σαφὲς καὶ ἐναργὲς πᾶσι, ὡς καὶ Ἰουδαίους καὶ Ἕλληνας καὶ αἱρετικοὺς καὶ πάντα ὀντινοιῶ ἄνθρωπον ὑπὲρ τούτων ὁμογνωμονεῖν. εἰ γὰρ καὶμὴ καθὼς προσῆκε περὶ ἀναστάσεως φιλοσοφῶσιν ἅπαντες, ἀλλ' ὅμως περὶ τ κρίσεως καὶ τ κολάσεως καὶ τῆς ἐκεῖ δικαιοσύνης ἅπαντες

πάντες συμφωνῆσιν ὅτι ἐστὶ τις τῆδ' ἐνταῦθα γινομένων ἀντίδοσις ἐκεῖ.

Εἰ γὰρ μὴ τοῦτο ἦν, τίνος ἕνεκεν οὐρανὸν τοσοῦτον ἔτεινε, θάλασσαν ἔπλασεν, ἀέρα ἐξέχεε, τοσαύτην φθονοῦσαν ἐπέδειξατο, εἰ μὴ μέχρι τέλους ἔμελλεν ἡμῶν προνοήσεσθαι.

Οὐχ ὁρᾷς πόσοι βιώσαντες ἐν ἀρετῇ μυρία παθόντες δεινὰ ἀπῆλθον, μηδὲν ἀπολαβόντες ἀγαθόν; ἕτεροι δὲ πάλιν πονηρίαν πολλὴν ὑπενεγκάμενοι, τὰς ἑτέρων ἁρπάσαντες οὐσίας, χήρας καὶ ὀρφανοὺς ἀποδύσαντες καὶ καταδουλωσάμενοι, πλούτου καὶ τρυφῆς καὶ μυρίων ἀπολαύσαντες ἀγαθῶν ἀπῆλθον, οὐδὲ τὸ τυχὸν παθόντες δεινόν; πότε οὖν ἢ ἐκεῖνοι οἱ φαύλως τῆς ἀρετῆς ἀπολήψονται τὰς ἀμοιβάς, ἢ οὗτοι τῆς πονηρίας δώσουσι τὰς τιμωρίας, εἰ μέχρι τοῦ παρόντος τὰ ἡμέτερα ἴσασιν πράγματα.

Ὅτι γὰρ εἰ ἐστὶ θεὸς, ὥσπερ οὖν ἔστι, δίκαιός ἐστι πᾶς ὁστισοῦν ἂν εἴποι, ὅτι δὲ εἰ δίκαιός ἐστι καὶ τούτοις καὶ ἐκείνοις ἀποδώσει τὰ κατ' ἀξίαν καὶ τοῦτο συνωμολόγηται. εἰ δὲ μέλλει καὶ ἐκείνοις καὶ τούτοις ἀποδιδόναι κατ' ἀξίαν, ἐνταῦθα δὲ οὐδεὶς ἀπέλαυεν, οὔτε ἐκεῖνος τῆς πονηρίας τὴν κόλασιν, οὔτε οὗτος τῆς ἀρετῆς τὰς ἀμοιβὰς, ἔνδηλον ὅτι λείπεταί τις καιρὸς, ἐν ᾧτινι φερούσας ἀντίδοσιν ἑκάτεροι τούτων ἕξουσι.

Τίνος δὲ ἕνεκεν ὅλως ἐν τῇ διανοίᾳ τῇ ἡμετέρᾳ κριτὴν οὕτω δικαιοσύνης ἐγκαθέτου καὶ νήφοντα κατέστησεν ἐν ἡμῖν ὁ θεός, τὸ συνιδὸς λέγω; οὐ γὰρ ἔστιν ὃν ἔστιν ἰδεῖν δικαστὴς οὕτως ἄγρυπνος ἐν ἀνθρώποις, οἷον τὸ ἡμέτερον συνειδός.

Οἱ μὲν γὰρ ἔξωθεν δικασταὶ, καὶ ὑπὸ χρημάτων διαφθείροντται καὶ κολακείαις χαυνοῦνται, καὶ διὰ φόβον καθυπακρίνονται, καὶ πολλὰ ἕτερά ἐστι τὰ λυμαινόμενα τὸ ὀρθὸν ἐκείνων

ψῆφον

ψῆφον. τὸ δὲ τῦ σωφρόνος δικαστήριον, οὐδενὶ τούτων εἰκὴν ὅιδεν. ἀλλὰ κἂν χρήματα δῷς, κἂν κολακεύσῃς, κἂν ἀπειλήσῃς, κἂν ἕτερόν τινα ἐργάσῃ, δικαίαν ἐξοίσει τὴν ψῆφον κατὰ τὴν ἡμαρτηκότων λογισμῶν. καὶ αὐτὸς ὁ τὴν ἁμαρτίαν ἐργασάμενος, αὐτὸς ἑαυτὸν καταδικάζει, κἂν μηδεὶς ἕτερος κατηγορῇ. κ᾽ οὐχ ἅπαξ, οὐδὲ δίς, ἀλλὰ κ᾽ πολλάκις κ᾽ διαπαντὸς τῦ βίου τῦτο ποιῶν διατελεῖ. κἂν πολὺς παρέλθῃ χρόνος, οὐδέποτε ὀπλήσεται τὴν γεγενημένην, ἀλλὰ καὶ ἐν τῷ γίνεσθαι τὴν ἁμαρτίαν, καὶ πρὶν γένεσθαι, καὶ μετὰ τὸ γενέσθαι, σφοδρὸς ἐφέστηκεν ἡμῖν κατήγορος, κ᾽ μάλιστα μετὰ τὸ γενέσθαι.

Ἐν μὲν γὰρ τῷ πράττειν τὴν ἁμαρτίαν, ὑπὸ τῆς ἡδονῆς μεθύοντες, οὐχ ὕντως αἰσθανόμεθα· ἐπεισὰν δὲ γένηται καὶ λάβῃ τέλος, τότε δὴ μάλιστα τῆς ἡδονῆς σβεσθείσης ἀπάσης, τὸ πικρὸν τῆς μετανοίας ἐπεισέρχεται κέντρον ἀπεναντίας ταῖς ὠδίνεσι γυναιξίν.

Ἔπ ἐκείνων μὴν γὰρ τὸ τῦ τόκου πολὺς καὶ ἀφόρητος ὁ πόνος, ὠδῖνες δριμεῖαι διακόπτουσαι ταῖς ἀλγηδόσιν αὐτάς, μετὰ δὲ τὸ τόκον ἄνεσις, τῷ βρέφει τ᾽ ὠδῖνας συνεξελθούσης. ἐνταῦθα δὲ οὐχ ὕντως, ἀλλὰ ἕως μὲν ἂν ὠδίνωμεν καὶ συλλάβωμεν τὰ διεφθαρμένα βουλεύματα, ὑφαινόμεθα καὶ χαίρομεν, ἐπεισὰν δὲ ἀποτέκωμεν τὸ πονηρὸν παιδίον τῆς ἁμαρτίας, τότε τὸ αἶσχος τῦ τεχθέντος ἰδόντες ὠδυνώμεθα, τότε διακοπτόμεθα τῆς ὠδινουσῶν γυναικῶν χαλεπώτερον.

Διὸ παρακαλῶ, μὴ δέχεσθαι μὴν μάλιστα παρὰ τὴν ἀρχὴν ὀπτασίαν διεφθαρμένην· εἰ δὲ κ᾽ δεξόμεθα, ἀποπίπτειν ἔνδον τὰ σπέρματα· εἰ δὲ κ᾽ μέχρι τούτε βαθυμήσαμεν, ἐξελθοῦσαν εἰς ἔργον τὴν ἁμαρτίαν ἀποκτείνειν

πάλιν

πάλιν δι' ἐξομολογήσεως καὶ δακρύων, διὰ τῆ κατηγορεῖν ἑαυτῶν. οὐδὲν γὰρ ἴσον ὀλέθριον τῇ ἁμαρτίᾳ ὡς κατηγορία καὶ κατάγνωσις, σὺν μετανοίᾳ καὶ δάκρυσι. κατάγνωσι σου τ' ἁμαρτίας, ἀπόδου τὸ φορτίον· τίς ταῦτα φησίν; αὐτὸς ὁ δικαίζων θεός. λέγε σὺ τὰς ἁμαρτίας σου πρῶτος, ἵνα δικαιωθῇς.

Τίνος γὰρ ἕνεκεν αἰσχύνῃ καὶ ἐρυθριᾷς, εἰπέ μοι, τὰ ἁμαρτήματα εἰπεῖν. μὴ γὰρ ἀνθρώπῳ λέγῃς ἵνα ὀνειδίσῃ σε; μὴ γὰρ τῷ συνδούλῳ ὁμολογεῖς, ἵνα ἐκπομπεύσῃ; τῷ δικαστῇ, τῷ κηδεμόνι τῷ φιλανθρώπῳ, τῷ ἰατρῷ τὸ τραῦμα ὑποδειχνύεις. μὴ γὰρ κἂν σὺ μὴ εἴπῃς, ἐκεῖνος οὐκ οἶδεν, ὅσα καὶ ᾗ τε πράχθηναι, ὁπόσα ἐστί; τίνος ἕνεκεν οὖν λέγεις; μὴ γὰρ ἐκ τῆς σῆς κατηγορίας φορτικώτερον γίνεται τὸ ἁμάρτημα; ἡμερώτερον μᾶλλον ὂν καὶ νουθετήσιμον. διὰ τοῦτο βούλεταί σε εἰπεῖν, οὐχ ἵνα κολάσῃ, ἀλλὰ ἵνα συγχωρήσῃ· οὐχ ἵνα αὐτὸς μάθῃ τὴν ἁμαρτίαν, πῶς γὰρ ὁ εἰδὼς; ἀλλὰ ἵνα σὺ μάθῃς πόσον σοι συγχωρεῖ χρέος.

Βούλεται δέ σε μαθεῖν τ' χάριτος τὸ μέγεθος, ἵνα εὐχαριστῶν διατελῇς, ἵνα ὀκνηρότερος πρὸς τὴν ἁμαρτίαν ἦς, ἵνα προθυμότερος εἰς ἀρετήν. ἂν μὴ εἴπῃς τὰ χρέους τὸ μέγεθος, οὐκ ὀπτήνασεις τῆς χάριτος τὴν ὑπερβολήν.

Οὐκ ἀναγκάζω, φησὶν, εἰς μέσον ἐλθεῖν θέατρον καὶ μάρτυρας περιστῆσαι πολλούς· ἐμοὶ τὸ ἁμάρτημα, εἰπὲ μόνῳ κατ' ἰδίαν, ἵνα θεραπεύσω τὸ ἕλκος καὶ ἀπαλλάξω τῆς ὠδῖνος.

Διὰ τοῦτο, συνειδὸς ἡμῖν ἐγκατέσησι, καὶ πρὸς φιλοστοργότερον τοῦτο ἐποίησε. πατὴρ μὲν γὰρ ἅπαξ ἢ δίς τι πρὸν, ἢ καὶ τρίτον ἢ δεκάκις δόπτησας τὸν παιδὶ, ἐπειδὴν ἴδῃ μέ-

γοιτα ἀδιόρθωτον, ἀπαγορεῦσαι ἀποκηρύττει, καὶ τ' οἰκίας ἐκβάλλῃ, καὶ τῆς συγγενείας διακόπτει, ἀλλὰ οὐ τὸ συνειδός.

Ἀλλὰ κἂν ἅπαξ, κἂν δεύτερον, κἂν τρίτον, κἂν μυριάκις εἴπῃ καὶ παρακούσῃς, πάλιν ἐρεῖ, καὶ οὐκ ἀφίσταται ἕως ἐσχάτης ἀναπνοῆς. καὶ ἐν οἰκίᾳ, καὶ ἐν ἀμφιόδοις, καὶ ἐν τραπέζῃ, καὶ ἐν ἀγορᾷ, καὶ ὁδοῖς, πολλάκις δὲ καὶ ἐν ὀνείροις αὐτοῖς τῆδ' ἡμαρτημένων ἡμῖν τὰ εἴδωλα καὶ τὰς φαντασίας παυείσης.

Καὶ ὅρα σοφίαν θεοῦ, οὕτε διηνεκῆ τὴν κατηγορίαν ἐποίησεν εἶναι τῆ συνειδότος· οὐ γὰρ ἂν ἠνέγκαμεν τὸ φορτίον, συνεχῶς ἐγκαλούμενοι· ὅτε οὕτως ἀσθενῆ, ὡς ἐκ τροφῆς καὶ διεγείρας ἀπαγορεῦσαι παραινέσεως.

Εἰ μὲν γὰρ καθ' ἑκάστην ὥραν ἔμελλεν ἡμᾶς κεντεῖν, κἂν ἀπεπηδήσαμεν ἀπὸ τ' ἀθυμίας· εἰ δὲ ἅπαξ καὶ δεύτερον ὑπομνήσαι, ἀπέσχη τ' ὀπτιμάσεως, ἐκ ἂν πολλὴν ἐκαρπωσάμεθα τὴν ὠφέλειαν.

Διὰ τοῦτο διηνεκῆ μὲν τοιαύτην ἐποίησεν εἶναι τὴν ὀπτίμησιν, οὐ μὴν συνεχῆ. διηνεκῆ μὲν, ἵνα μὴ εἰς ῥᾳθυμίαν ἐμπέσωμεν, ἀλλ' ἀεὶ καὶ μέχρι τελευτῆς ὑπομιμνησκόμενοι νήφωμεν. οὐ συνεχῆ δὲ ἵνα μὴ καταπέσωμεν, ἀλλὰ ἀνίσους τινὰς λαμβάνοντες καὶ παραμυθίας ἀναπνέωμεν.

Ὥσπερ γὰρ τὸ μηδ' ὅλως ἀλγεῖν ὀπὶ τοῖς ἁμαρτήμασι, ἀλέθριον, καὶ τὴν ἐσχάτην ἀναισθησίαν ἐντίκτον ἡμῖν· οὕτω τὸ συνεχῶς καὶ πέρα τοῦ μέτρου τοῦτο πάσχειν, ὀπτελαβές.

Ἡ γὰρ ὑπερβολὴ τῆς ἀθυμίας, ἴσχυε, καὶ τῆδ' κατὰ φύσιν πολλάκις ἐκβαλοῦσα φρενῶν, ὑπερβρύχιον ποιῆσαι τὴν ψυχήν, καὶ πρὸς ἅπαντα ἄχρηστον ἐργάσασθαι τὰ καλά. διὰ τοῦτο καὶ ἐκ διαλειμμάτων ἡμῖν τὸν τῆς συνειδότος ἔλεγχον

παρε

παρασκευάσειν ἐπιτίθεσθαι. ἐπειδὴ σφόδρα ἐστὶν ἀπότομος καὶ παντὸς κέντρου σφοδρότερον, τὸν ἁμαρτάνειν εἰωθότα. οὐδὲ γὰρ ἵνα μὴ ἁμαρτάνωμεν αὐτοὶ, ἀλλὰ καὶ ἵνα ἕτεροι τὰ αὐτὰ πλημμελοῦσιν ἡμῖν, διηγείρεται σφοδρῶς καὶ μετὰ πολλῆς, ἡμῶν καταβοᾷ τῆς ἐλευθερίας.

Καὶ γὰρ ὁ πόρνος, καὶ ὁ μοιχὸς, καὶ ὁ κλέπτης, οὐ μόνον ὅταν αὐτὸς κατηγορῆται, ἀλλ' ὅταν καὶ ἕτερον τοιαῦτα τολμῶντα κακῶς κατηγορούμενον, αὐτὸς ἐγείρεται μᾶλλον, ἐν ταῖς ἑτέρων ἐπιτιμήσεσι τὰ οἰκεῖα ἁμαρτίας λαμβάνων ἀνάμνησιν. καὶ ἐγκαλεῖται μὲν ἄλλος, πλήττεται δὲ ἑαυτὸν μηδὲν ἐγκαλούμενος, ὅταν ᾖ τὰ αὐτὰ ἐκείνῳ τετολμηκώς.

Ὥσπερ οὖν καὶ ὅτι τοῖς κατορθώμασιν, ἑτέρων ἐγκωμιαζομένων, καὶ στεφανουμένων, οἱ τὰ αὐτὰ κατορθωκότες ἐκείνοις, χαίρουσι καὶ ἀγάλλονται, ὡς ἂν ἐκείνων μᾶλλον ἢ αὐτῶν ἐπαινουμένων.

Τί τοίνυν γένοιτ' ἂν τῆς ἁμαρτικότος ἀβλαβέστερον, ὅταν ἑτέρων κατηγορουμένων, αὐτὸς καταδύηται; τί δὲ τοῦ ζῆν ἐν ἀρετῇ μακαριώτερον, ὅταν ἑτέρων ἐπαινουμένων, αὐτὸς χαίρῃ καὶ διαχέηται, ἐν τοῖς ἑτέρων ἐγκωμίοις ὑπόμνησιν λαμβάνων τῶν οἰκείων κατορθωμάτων.

Ταῦτα τῆς τοῦ θεοῦ σοφίας τὰ ἔργα, ταῦτα τῆς μεγίστης αὐτοῦ σοφοίας τὰ σημεῖα. ἀγλυκὺ γὰρ πᾶς ἐστὶν ἱερὰ τοῦ σωφρονοῦντος ἡ ὀπτίμησις, ἂν ἑαυτὸν ἡμᾶς εἰς τὴν τῆς ἁμαρτίας κατανοήσωμεν βυθόν.

Οὐδὲ γὰρ παρ' αὐτὸ τῶν ἁμαρτημάτων τὸν καιρὸν μένειν, ἀλλὰ καὶ μετὰ πολλὰς ἐναυτοὺς περιόδους, δίκαιον ἡμᾶς πολλάκις παλαιὰς ἀναμιμνήσκειν ἁμαρτίας. καὶ τούτου καὶ ἀπ' αὐτῶν παρέξησόμεθα τῶν γραφῶν σαφῆ τὴν ἀπόδειξιν.

Ἀπέδοντο ἡ Γαζηφ ποτὲ οἱ ἀδελφοὶ, ἐγκαλεῖν μὴ ἐδὲν ἔχοντες, ὅτι δὲ ἐνύπνια ἑώρα τὰ μέλλοντα αὐτῦ περιφανῶς διαγορεύοντα δόξαν· εἶδον γὰρ, φησὶν, τὰ δράγματα ὑμῶν προσκυνήσαντα τὸ ἐμὸν δράγμα· καίτοι ὑπὲρ τούτων φυλάττειν αὐτὸν ἐχρῆν. στέφανος γὰρ τῆς οἰκίας ἅπασης ἔμελλεν ἔσεσθαι, καὶ λαμπρότης τῦ γένους παντός.

Ἀλλὰ τοιοῦτον ἡ βασκανία, τοῖς οἰκείοις πολεμεῖ καλοῖς. καὶ μᾶλλον ἂν ἔλοιτο μυρία πάσχειν δεινὰ ὁ βασκαίνων, ἢ τὸν πλησίον εὐδοκιμοῦντα, καὶ εἰς αὐτὸν διαβαίνειν μέλλοντα τὰ τῆς εὐδοξίας. δῦ τί γένοιτ' ἂν ἀθλιώτερον; ὅπερ οὖν καὶ ἐκεῖνοι ἔπαθον, καὶ ἰδόντες αὐτὸν πόῤῥωθεν ἥκοντα, τρυφὴν αὐτοῖς κομίζοντα, πρὸς ἀλλήλους ἔλεγον· δεῦτε ἀποκτείναμεν αὐτὸν καὶ ἴδωμεν τί ἔσται τὰ ἐνύπνια αὐτῦ. εἰ καὶ μὴ ὡς ἀδελφὸν ἠγάθησε, οὐδὲ τιμῶ φύσιν ἐπίγνως· τιμῶ γοῦν τράπεζαν αὐτῶ αἰδεσθῆναι ἔδει, καὶ τὸν τῆς διακονίας τρόπον, ὅτι θρέψων σε παρεγένετο.

Ἀλλὰ ὅρα πῶς καὶ ἄκοντες προφητεύουσι. δεῦτε, φησὶν, ἀποκτείναμεν αὐτὸν, καὶ ἴδωμεν τί ἔσται αὐτῦ τὰ ἐνύπνια.

Εἰ γὰρ ἐκ ἐβεβουλεύσαντο, καὶ τὸν δόλον ὑφάναν, καὶ τὴν ἀναιδῆ βουλὴν ἔρραψαν ἐκείνην, ἐκ ἂν ἔγνωσαν τῆς ἐνυπνίων ἐκείνων τὴν δυνάμεν. ἀγὰ ἦν ἴσον μηδὲν παθόντα δεινὸν, ὁπὸ τὸν θρόνον ἀναβῆναι τῆς αἰγύπτου, καὶ διὰ τοσούτων τῆς κωλυμάτων καὶ τῆς ἐμποδίων τ' αὐτῆς ταύτης ὑπερβαλέσθαι λαμπρότητος. εἰ μὴ ἐβούλευσαν, ἐκ ἂν εἰς αἴγυπτον ἀπέδοντο, εἰ μὴ ἀπέδοντο εἰς αἴγυπτον, ἐκ ἂν ἠράθη δέσμιον, ἐκ ἂν ἐνεβλήθη εἰς δεσμωτήριον, ἐκ ἂν συνέκρινε τὰ ῥήματα, ἐκ ἂν τ' βασιλείας ἐπέτυχεν· εἰ μὴ τ' βασιλείας δὲ ἐπέτυχεν ἐκείνης, ἐκ ἂν ἦλθον οὗτοι κατ' ἐμπορίαν σίτε καὶ προσκύνησαν, ὥστε ἐπειδὴ ἀπέκτειναν αὐτὸν, διὰ τῦτο μᾶλλον τῦ

μέλισα ἔγνωσεν αὐτῷ τὰ ἐνύπνια.

Τί οὖν; αὐτοὶ προξένοι τῆς μελλόντων ἀγαθῶν αὐτῆς πάντων ἐγένοντο καὶ τῆς περιφανείας ἐκείνης; οὐδαμῶς. ἀλλὰ αὐτοὶ μὲν θανάτῳ καὶ ἀθυμίᾳ καὶ τῇ δουλείᾳ, καὶ τοῖς ἐχθροῖς παραδοῦναι ἐβούλοντο γαμετῆς. ὁ δὲ εὐμήχανος θεὸς, τῇ τῆς ὑπεβουλευόντων πονηρίᾳ πρὸς τὸ τῶν προαθέντος εὐδοκίμησιν ἀπεχρήσατο.

Γένα δέ μὴ συμφορᾶς τινὸς, μηδὲ ἀραγμάτων περιφανείας τὰ συμβάντα εἶναι νομίζητε, δι' αὐτῶν τῆς ἐναντιουμένων, δι' αὐτῶν τῆς κωλυόντων, αὐτὰ κατασκευάζει τὰ κωλυόμενα ὁ θεός· τοῖς ἐχθροῖς αὐτῶ πρὸς τὴν εὐδοκίμησιν διακόνοις χρώμενος, ἵνα μάθῃς ὅτι ἃ ὁ θεὸς βιβούλευται, οὐδεὶς διασκεδάσει, καὶ τὸ χεῖρον αὐτῶ τὸ ὑψηλὸν οὐδεὶς ἀποῤῥίψει. ἵνα ὅταν ὑπεβουλεύῃ παρά τινων, μὴ καταπίπτῃς μηδὲ δυσχεραίνῃς, ἀλλ' εἰδέναι ἔχῃς, ὅτι πρὸς τέλος ἅπαντα τῷ χρηστὸν ἡ ὑπόβουλη, μόνον ἂν γενναίως φέρῃς τὰ συμπίπτοντα.

Γόδὲ γραῦς καὶ σταῦθα, φθόνος βασιλείαν ἔτεκε, καὶ βασιλεία διάδημα προξένησε, καὶ φθόνον ἐποίησε· καὶ αὐτοὶ οἱ ὑπεβουλεύσαντες, αὐτοὶ σιωπῶδησαν αὐτὸν πρὸς τὸ μέγεθος τῆς ἀρχῆς ἐκείνης.

Καὶ ὁ μὲν ὑπεβουλευθεὶς ἐβασίλευσεν, οἱ δὲ ὑπεβουλεύσαντες ἐδούλευον· καὶ κεῖτος μὲν προσεκυνεῖτο, οὗτοι δὲ προσεκύνουν. ὅταν τοίνυν ἐπέλθῃ σοι δεινά σιωπᾷ καὶ ἀπάλλαλα, μὴ θορύβου, μηδὲ δυσχέραινε, ἀλλ' ἀνάμενε τὸ τέλος· πάντως γὰρ ἀπαντήσεται τῆς θεοῦ μεγαλοδωρεᾶς ἄξιον, μόνον ἐὰν εὐχαρίστως τὰ ἐν μέσῳ συμπίπτοντα ἐνέγκῃς.

Ἐπεὶ καὶ οὗτος μετὰ τὰ ὀνείρατα ἐκεῖνα περὶ τῆς ἐχθρῶν κατακωμῳδούσας καὶ προσβλεὶς ὑπὸ τῆς ἀδελφῶν, καὶ πα-

ρχὴ δ' δεσπότης ὁπηβουλευθείς, κ) πάλιν εἰς δεσμωτήριον ἀμπισὼν ἀπ εἶπεν πρὸς ἑαυτόν, τί ποτε τῦτό ἐςιν; ἀπάτη τις ὑπάρχει ἐκεῖνα ἰδών. ἐξέπισον δ' παῤῥησίας, ἀπεςερήθην ἐλευθερίας, διὰ τὸν θεὸν ἀπ εἴξα τῇ διανοίᾳ πρὸς μοιχείαν λαλεύσῃ. διὰ σωφροσυνίδιον κ) ἀρετὴν κολάζεμαι, κ) ὐδὲ ὕτως ἤμυνεν, ὐδὲ χεῖρα ἄριξεν, ἀλλ' εἴασε παραδοθῆναι δεσμοῖς ἐπαλλήλοις, κ) συνεχέσι συμφοραῖς. μετὰ γὰρ λαῖκον, δουλείαν· μετὰ δουλείαν, ὁπηβουλήν· μετὰ ὁπηβουλὴν, συκοφαντίαν· μετὰ συκοφαντίαν, δεσμωτήριον.

Ἀλλ' ὐδὲν τούτων αὐτὸν ἐτάραβει, ἀλλ' ἤμενε, τῇ ἐλπίδι θαῤῥῶν, κ) εἰδὼς ὅτι πᾶ εἰρημένα ὐ διαπεσεῖται ὐδέποτε. ἐβλώατο μὲν γὰρ ὁ θεὸς κ) παρ' αὐτὴν αὐτὰ τὴν ἡμέραν πληρῶσαι, ἀλλ' ἵνα κ) τὴν αὐτῦ δύναμιν ὁπηδείξηται, κ) τὴν πίςιν τῶν αὐτῦ δούλων, ἀφίησι χρόνον μεταξὺ παρεμπεσεῖν μακρὸν κ) πολλὰ γενέσθαι κωλύματα, ἵνα κ) τὴν αὐτῦ μάθῃς ἰσχὺν· τότε πληρεσθῆτος τὰ ἐπηγγελμένα, ὅταν εἰς ἀπόγνωσιν ἐμπέσῃ· κ) τὴν τῶν δούλων ἴδῃς ὑπομονὴν, κ) πίςιν ὐδενὶ τῶν ἐν μέσῳ συμβαινόντων, τῆς ἀγαθῆς φρονηματίας ἐκπίπτοντων, ἀλλ' ὅπερ ἔλεγον, ἐπανῆλθον αὐτοὶ, τῷ λιμῷ, καθάπερ στρατιώτου, πρὸς ὃν κεφαλὴν αὐτοὺς ὠθισθέντος κ) παρεισέντος ἄρχοντι τῷ Ἰωσὴφ κ) ἐκωλύοντο ἐρᾶσθαι σῖτον. ὁ δὲ τί φησὶ πρὸς αὐτύς; κατάσκοποί ἐςε. οἱ δὲ εἶπον ἐν ἑαυτοῖς, πότε τῦτό ἐςιν; πρόφην ἤλθομεν ἐμπορευσόμενοι, κ) περὶ ψυχῆς κινδυνεύομεν; εἰκότως. ἐπεὶ κ) αὐτὸς πρόφην ὑμῖν ὠόμοσε, κ) περὶ τῆς ζωῆς ἐκινδύνευσεν, ἀλλ' αὐτὸς μὲν ἀληθείᾳ ὑπέμενεν, ὑμεῖς δὲ ὑποκρίσει τῦτο πάσχετε. ὐ γὰρ ἐχθρὸς ἦν, ἀλλὰ πρόσκαιρον ἔλαβεν ἐχθρὸν, ἵνα τὰ κατὰ τὴν οἰκίαν μετὰ ἀκριβείας μάθῃ.

ἐπειδὴ

Ἐπειδὴ γὰρ πονηροὶ περὶ αὐτὸν ἐγένοντο καὶ ἀγνώμονες τὸν τε Βενιαμὶν ὡς εἶδε μεθ' αὐτῶν ὄντα, δείσας ὑπὲρ τοῦ παιδὸς μήποτε καὶ κεῖνος τὰ ἀδελφὰ αὐτοῦ πέπονθεν, κελεύει δεθῆναι πρὸ ἕνα καὶ ἀεὶ δῆναι ἐκεῖ· εἶτα αὐτὸς λαβόντας τὸν σῖτον ἅπαντας ἀπελθεῖν, ἀπειλήσας αὐτοῖς θάνατον, εἰ μὴ τὸν ἀδελφὸν τὸν ἑαυτῶν ἐπαγάγοιεν. ἐπεὶ δὲ οὕτω ταῦτα ἐγένετο, καὶ εἶπεν, ἄφετέ τινα ὑπαῦθα, καὶ τὸν ἀδελφὸν ὑμῶν ἀγάγετε, εἰδὲ μὴ, ἀποθανεῖσθε· τί πρὸς ἀλλήλους ἔλεγον ἐκεῖνοι; ναὶ ἐν ἁμαρτίαις ἐσμὲν περὶ τὸν ἀδελφὸν ἡμῶν, ὅτε κατεδίετο ἡμῶν.

Εἰδὲς μετὰ πόσον τῆς ἁμαρτίας ἐνεμνήσθησαν ἐκείνης καὶ πρὸς μὲν τὸν πατέρα ἔλεγον, δηλοῖ πονηρὸν κατέφαγε τὸν Ἰωσήφ· αὐτὸς δὲ τῷ Ἰωσὴφ παρόντος καὶ ἀκούοντος, τὴν ἁμαρτίαν ἐξήλεγχον.

Τί τούτου παραδοξότερον γένοιτ' ἂν; δικαστήριον χωρὶς ἐλέγχων γίνεται, καὶ ἀπολογία χωρὶς κατηγορίας, καὶ ἀπόδειξις ἄνευ μαρτύρων· αὐτῶν γὰρ τὸ πρᾶγμα ἐργασαμένων ἑαυτοὺς ἐλεγχόντων, καὶ τὸ λάθρα γεγενημένον ἐκφωνούντων. τίς ἔφεισε, τίς ἀνάγκασεν εἰς μέσον ἐξενεγκεῖν τὰ περὶ τοσούτου τολμηθέντα χρόνου; οὐκ ἄδηλον ὅτι τὸ συνειδὸς, ὁ ἀπαραλόγιστος δικαστὴς, συνεχῶς αὐτῶν κατίσχει τὴν διάνοιαν, καὶ τὴν ψυχὴν ἐτορύβει· καὶ ὁ φονευθεὶς τότε ἐκάθητο στηλῶν δικάζων αὐτούς· καὶ μυδεμιᾶς ἐξενεχθείσης ἀποφάσεως κατ' αὐτῶν, αὐτὸς τὴν καταδικάζουσαν αὐτοὺς ψῆφον ἔφερεν.

Καὶ οὗτοι μὲν ταῦτα ἔλεγον. ἕτερος δὲ ἀπελογεῖτο λέγων, Οὐκ ἐλάλησα πρὸς ὑμᾶς, οὕτω λέγων, μὴ ἀδικήσητε τὸ παιδάριον, μηδὲ ποιήσητε αὐτὸν μηδὲν κακὸν, ὅτι ἀδελφὸς ἡμῶν ἐστι, καὶ ἰδοὺ γὰρ τὸ αἷμα αὐτοῦ ἐκζητεῖται ἐκ τῶν χειρῶν ἡμῶν.

Καὶ τοι οὐδὲν αὐτὸς ὁ παῦτα λέγων περὶ τοῦ φόνου ἢ τῆς σφαγῆς ἐκείνης εἶπε, ἀλλ' αὐτὸς μὲν καθήμενος, οὐδὲν τοιοῦτον ἐζήτει, ἀλλὰ τὸν ἕτερον ἀδελφὸν ἐπεζήτει, τὸ δὲ συνειδὸς αὐτῶν ὁπλαβόμενον καιροῦ, διανίξη καὶ καθήψατο τῆς ἐκείνων διανοίας, καὶ μηδενὸς ἀναγκάζοντος τὰ ἐντολμηθέντα ὁμολογῆσαι παρεσκεύασε.

Ταῦτα καὶ ἡμεῖς πολλάκις πάσχομεν, παρελθόντων ἁμαρτημάτων· ἐν δὲ ταῖς ἐνοῖς γὰρ ἐξεταζόμενοι καὶ περιστάσεσι, μνημονεύομεν τῶν ἀοιστέρων ἁμαρτημάτων.

Ἅπερ οὖν ἅπαντα εἰδότες, ἐπιδεῖν τι πράξωμεν πονηρὸν μὴ ἀναμένωμεν συμφορὰς καὶ περιστάσεις, μηδὲ κινδύνους καὶ δεσμά, ἀλλ' καθ' ἑκάστην ὥραν τε καὶ ἡμέραν, ἀνακινῶμεν παρ' ἑαυτοῖς τὸ δικαστήριον τοῦτο, καὶ τὰς ψήφους καθ' ἑαυτῶν φέρωμεν, καὶ πειρώμεθα παντὶ τρόπῳ ἀπολογεῖσθαι τῷ θεῷ, καὶ μήτε αὐτοὶ περὶ τῆς ἀναστάσεως καὶ τῆς κρίσεως ἀμφισβητῶμεν, μήτε ἑτέρων λεγόντων ἀνεχώμεθα, ἀλλὰ παντὶ τρόπῳ διὰ τῶν εἰρημένων αὐτοὺς ἀπαλείφωμεν.

Οὐ γὰρ ἄνευ μὴ τότε ἐμέλλομεν ἀθῳότας ὑφέξειν τῶν πεπλημμεληκότων, τοιοῦτον ἵνα ταῦτα δικαστήριον ἐγκατέστησεν ἡμῖν ὁ θεός. ἀλλὰ καὶ τοῦτο τῆς αὐτοῦ φιλανθρωπίας τεκμήριον. ἐπειδὴ γὰρ τότε μέλλει λόγον ἡμᾶς ἀπαιτεῖν τῶν πεπλημμεληκότων, ἐγκατέστησε τοῦτον ἡ ἀδέκαστον κριτήν, ἵνα οὗτος ἐνταῦθα ὑπὲρ τῶν ἡμαρτημένων δικάζων ἡμῖν, καὶ σωφρονεστέρους ποιῶν, ἐξαρπάσῃ τῆς μελλούσης ἐκείνης κρίσεως. ἅπερ οὖν καὶ παῦλος λέγει, εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα.

Ἵνα οὖν μὴ τότε κολαζώμεθα, μὴ τότε ἀθῳότας ὑπέχωμεν, ἕκαστος εἰς τὸ συνειδὸς εἰσελθέτω τὸ ἑαυτοῦ, καὶ τῷ ζυγῷ ἀναπήξας, ἅπαντα τὰ πεπλημμεληκότα μετὰ

ἀκρι-

ἀκριβείας ἐπελθών, καταγινωσκέτω τῆς ψυχῆς τ' ταῦτα ἐργαζομένης, κολαζέτω τοὺς λογισμούς, θλιβέτω, στενοχωρείτω τ' ἑαυτῦ διάνοιαν, δίκλω ἑαυτὸν ἀπαιτείτω τὴν ἡμαρτημένων, διὰ τ' μετανοίας τ' ἀκριβωμένης, διὰ δακρύων, διὰ ἐξομολογήσεως, διὰ νηστείας καὶ ἐλεημοσυνῆς, διὰ ἐγκρατείας καὶ ἀγάπης, ἵνα παντὶ τρόπῳ δυνηθῶμεν πάντα ἐνταῦθα ἀποθέμενοι τὰ ἁμαρτήματα, μετὰ πολλῆς ἀπελθεῖν ἐκεῖ τῆς παῤῥησίας· ἧς γένοιτο πάντας ἡμᾶς ὀπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ· μεθ' ὗτῳ πατρὶ, σὺν τῷ ἁγίῳ πνεύματι, δόξα, τιμὴ, καὶ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀμήν.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

Γαλήνου, Αρχιεπισκόπου Κωνσταντινουπόλεως τῦ χρυσοςόμου ὁμιλία εἰς τὸ ῥητὸν τῦ Αποςόλου, Περὶ δὲ τῶν κοιμωμένων, οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοὶ, ἵνα μὴ λυπῆσθε ὡς καὶ οἱ λοιποί.

Ημέρας τίναρχε ἀπλῶσομβρ, τὴν κατὰ τὸν Λάζαρον παραβολὴν ὑμῖν ἐξηγούμενοι, τὸν θησαυρὸν ἐξαστλοῦντες ἐν ἐυρήκαμβρ ἐν εἰλκαμένῳ κείμενον σώματι. Θησαυρὸν, οὐχὶ χρυσίον καὶ ἀργύριον καὶ λίθους ἔχοντα πολυτελεῖς, ἀλλὰ φιλοσοφίαν, καὶ ἀνδρείαν, καὶ ὑπομονὴν, καὶ καρτερίαν πολλήν. Καθάπερ γὰρ ὅλη τῆς αἰθητῶν θησαυρῶν τοῦτων συμβαίνῃ, τὴν μὲν ὄψιν φαύλην καὶ ἀηδῆ ἔχειν καὶ τριβόλους ἁπλῶς καὶ γῆν τραχυτέραν, εἰ δέ τις κάτω διασκάψειεν, πολὺς ὁ πλοῦτος φανεῖται· οὕτω δὴ καὶ ὅλη τὸ λαζάρου συμβαίνειν· ἄνωθεν τραύματα, καὶ κάτωθεν πλοῦτος ἄφατος, παρημένον τὸ σῶμα, ἀλλὰ γναῖα καὶ ἐρρωμένη ψυχή. καὶ τὸ ἀποστολικὸν ἦν ἰδεῖν ἐκεῖνο πληρούμενον ὅπ' τοῦτου, ὅσον ὁ ἔξω ἄνθρωπος διαφθείρεται, τοσοῦτον ὁ ἐντὸς ἀνακαινοῦται.

Καὶ ἐνῆν μὲν καὶ τίμερον εἰς τὴν αὐτὴν παραβολὴν εἰπεῖν, καὶ περὶ τοὺς αἱρετικοὺς μαχήσασθαι τοὺς τὴν παλαιὰν διαβάλλοντας, τοὺς τῶν πατριαρχῶν κατηγοροῦντας, τοὺς κατὰ τὸ δημιουργοῦ τῶν ὅλων θεοῦ τὴν γλῶτταν ἀκοντίζοντας. Αλλ' ἵνα μὴ περισσὸς ὑμῖν ὁ λόγος γένηται, τούτους εἰς ἕτερον ταμιευσάμενοι καιρὸν τοῦ σήμερον, φέρε πρὸς ἄλλην ὑπόθεσιν τὸν λόγον ἀγάγωμεν. ἐπεὶ καὶ βάσανος μονονοῦ δὶς μὲν ἐξακόντισται, τρὶς δὲ πεπλήρωται τῇ συνεχείᾳ διηγείρασι τὴν ὄρεξιν

Γνα οὖν καὶ ὅλη τὸ ἀκριβάσαντες τοῦτο γένηται, πρὸς τὸν μακάριον Παῦλον διὰ μακροῦ τοῦ χρόνου τίμερον ἐπανέλθωμεν

καὶ

καὶ γὰρ εἰς ἴυκαιρον ἡμῖν τὴμερον τὸ χωρίον αἴνιγμα θητὸ ἀποστολικὸν, καὶ ἐπιφοβὸ ἴσως τοῖς μεχὶ νῦν λεχθεῖσιν τὰ ῥηθησόμενα.

Ἠκούσατε τοίνυν Παύλου σήμερον βοῶντος καὶ λέγοντος Περὶ δὲ τῶν κεκοιμημένων, οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἵνα μὴ λυπῆσθε, ὡς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα.

Ἐκείνη ἀναγκαία καὶ ναυτικὴ τοῦ λαζάρου; οὗτος ἀποστολικὸς ὁ φθόγγος; ἀλλὰ μία ἡ συμφωνία. καὶ γὰρ κἀν ἐκείνῃ τῇ παροιμίᾳ ἄλλα περὶ ἀναστάσεως καὶ τοῦ ἐκεῖ δικαστηρίου ἐφιλοσοφήσαμεν, καὶ νυῦ εἰς τὴν αὐτὴν ὑμᾶς ὑπόθεσιν ὁ λόγος ἤγαγε πάλιν. ὥστε εἰ καὶ ἀποστολικὸν ἀνορύττομεν χωρίον, ἀλλὰ τὸν αὐτὸν καὶ ἐνταῦθα θησαυρὸν εὑρήσομεν.

Καὶ γὰρ καὶ τότε ὁ λόγος ἡμῶν ἅπας τοῦτο παιδεύσας τοὺς ἀκροατὰς ἐπαυσεν, μηδὲν τὰ λαμπρὰ τοῦ βίου παρόντος νομίζειν εἶναι πράγματα, ἀλλὰ περαιτέρω περιέναι ταῖς ἐλπίσιν, καὶ τὰς ἐκεῖ ψήφους καθ' ἑκάστην ἐνοεῖν τὴν ἡμέραν, καὶ τὸ φοβερὸν κριτήριον, καὶ τὸν ἀπαραλόγιστον δικαστὴν.

Ταῦτα καὶ ὁ Παῦλος διὰ τῆδε ἐγυμνασμένων ἡμῖν συμβουλεύει τὴμερον. ἀλλὰ περισχέτω. Περὶ δὲ τῶν κεκοιμημένων οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοὶ, ἵνα μὴ λυπῆσθε ὡς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα. εἰ γὰρ πιστεύομεν ὅτι Ἰησοῦς ἀπέθανεν καὶ ἀνέστη οὕτως καὶ ὁ θεὸς τοὺς κοιμηθέντας διὰ Ἰησοῦ ἄξει σὺν αὐτῷ

Τοῦτο περὶ τοῦ ἄξιον ἐνταῦθα ὀπτήσαντας ἐξετάσαι τί δήποτε, ὅταν μὲν περὶ τῆς χριστοῦ διαλέγηται, θάνατον καλεῖ τοῦ ἐκείνου θάνατον. ὅταν δὲ περὶ τῶν ἡμετέρων τελευτῆς, κοίμησιν αὐτὴν, καὶ θάνατον ὀνομάζῃ. καὶ γὰρ εἴπε περὶ δὲ τῶν ἀποθανόντων. ἀλλὰ τί περὶ δὲ τῶν κεκοιμημένων. καὶ πάλιν, καὶ οὕτως ὁ θεὸς καὶ τοὺς κοιμηθέντας διὰ Ἰησοῦ ἄξει σὺν αὐτῷ. Καὶ ἐκεῖ μὲν, τοὺς ἀποθανόντας. καὶ πάλιν, ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ κυρίου Ἰησοῦ, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας. καὶ οὐδὲ ἐνταῦθα εἶπεν τοὺς

ἀποθα-

ἀποθανόντας, ἀλλὰ βίον μεταποιήσασας, τὸ βίον κοίμησιν ἢ θάνατον αὐτῶν ὠνόμασεν. περὶ δὲ τῦ χριστοῦ οὐχ' οὕτως, ἀλλὰ πῶς; εἰ γὰρ πιστεύομεν ὅτι Ἰησοῦς ἀπέθανεν καὶ οὐκ εἶπεν ἐκοιμήθη, ἀλλὰ ἀπέθανεν.

Τίτος οὖν ἔνεκεν τὸν μὲν τῦ χριστῦ θάνατον ἐκφάλισεν, τὸ δὲ ἡμέτερον, κοίμησιν; οὐ γὰρ ἁπλῶς, οὐδὲ παρέργως ταύτῃ κέχρηται τῇ λέξει τῇ παρατηρήσει, ἀλλὰ σοφόν τι καὶ μέγα κατασκευάζων. ὅπου μὲν γὰρ τῦ χριστοῦ, θάνατον ἐκφάλισιν ἵνα τὸ πάθος πιστώσηται. ὅπου δὲ ἡμῶν κοίμησιν ἐκφάλισιν ἵνα τὴν ὀδύνην παραμυθήσηται. ἐνταῦθα μὲν γὰρ ἀφεκτέον ἡ ἀνάστασις, θαῤῥῶν κελεῖ θάνατον· ἐνθα δὲ ἐλπίσιν ἐστὶ τὸ ἀφεῖγμα, κοίμησιν καλεῖ, καὶ διὰ ταύτης παραμυθούμενος τὰς ἀθυμίας ἡμῶν, καὶ χρηστὰς ὑποτείνων ἐλπίδας. ὁ γὰρ κοιμώμενος ἀναστήσεται πάντως, καὶ οὐδὲν ἕτερόν ἐστι θάνατος, ἀλλὰ ὕπνος μακρός.

Μὴ γὰρ μοι τῦτο εἴπῃς, ὅτι οὗτοι ἀκούει, οὗτοι φθέγγεται οὗτοι ὁρᾷ οὗτοι αἰσθάνεται ὁ τετελευτηκὼς. οὐδὲ γὰρ ὁ καθεύδων εἰ δέ χρή τι καὶ θαυμάσαι εἰπεῖν· τῦ μὲν καθεύδοντος καὶ ἡ ψυχὴ πως καθεύδει· τῦ δὲ τελευτήσαντος οὐχ οὕτως ἀλλ' ἐγρήγορεν.

Ἀλλὰ ὁ τελευτήσας σήπεται καὶ διαφθείρεται, φησὶ, καὶ κόπις γίνεται καὶ τέφρα. καὶ τί τῦτο, ἀγαπητέ; διὰ αὐτὸ μᾶλλον τῦτο μάλιστα χαίρειν δεῖ. καὶ γὰρ οἰκίαν τις μέλλων οἰκοδομεῖν σαθρωθεῖσαν καὶ παλαίαν γενομένην, ἐκβαλὼν πρῶτον τοὺς οἰκοῦντας, οὕτω καταλύει τὴν οἰκίαν, καὶ ἀνοικοδομεῖ λαμπροτέραν, καὶ τοὺς ἐκβληθέντας οὐ λυπεῖ τὸ γινόμενον, ἀλλὰ καὶ εὐφραίνει πλέον. οὐ γὰρ τῇ καθαιρέσει προσέχουσι τῇ βλεπομένῃ, ἀλλὰ τὴν μέλλουσαν οἰκοδομεῖν φαντάζονται τὴν οὐ βλεπομένην.

Οὕτω

Οὕτω δὴ καὶ ὁ θεὸς ποιεῖν μέλλων, κεφαλύψῃ ἡμῖν τὸ σῶμα καὶ τὴν ἐνοικοῦσαν αὐτῷ ψυχὴν ἐξάγῃ κρύπτερον, καθάπερ ἐξ οἰκίας τινὸς, ἵνα λαμπροτέραν αὐτὴν οἰκοδομήσας, μετὰ πλείονος αὐτὴν δόξης εἰσαγάγῃ πάλιν.

Μὴ τοίνυν τῇ κεφαλαιρέσει προσέχωμεν, ἀλλὰ τῇ μελλούσῃ λαμπρότητι. πάλιν γὰρ ἀνδριάντα τις ἔχων ἰῷ καὶ χρόνῳ διεφθαρμένον, καὶ πολλὰ τῷ μορῷ δοκοβλασμένον, συμβίβᾳς αὐτὸν, εἰς χαλκουργεῖον ἐμβάλλει, καὶ τήξας αὐτὸν ἀκριβῶς, οὕτως λαμπρότερον ἀποδίδωσιν. οὗ παρ' ἡμῖν ἡ ἐν τῷ χαλκουργείῳ συμβιβὴ, ἐκ ἀφανισμὸς, ἀλλὰ ἀνακαινισμός ἐστι τοῦ ἀνδριάντος ἐκείνου· οὕτω καὶ τῷ ἡμετέρῳ σωμάτων ὁ θάνατος, οὐκ ἀπώλειά τις ἐστὶν, ἀλλὰ ἀνακαίνωσις.

Ὅταν τοίνυν ἴδῃς καθάπερ ἐν χαλκουργείῳ κρυπτόμενον ἡμῶν τὸν σίδηρον καὶ σκεπόμενον· μὴ τῆς μέλλης τοῦ ὕψους ταύτης, ἀλλὰ τὴν ἀναχώνευσιν ἀνάμενε. καὶ μηδὲ τῷ μέτρῳ τοῦ παραδείγματος ἀρκεσθῇς τούτῳ ἀλλ' ὅπῃ τὸ κρεῖττον προσθεὶς τῷ λόγῳ.

Οὐ μὴν γὰρ ἀνδριαντοποιὸς χαλκοῦν ἐμβαλὼν σῶμα, οὐ χρυσοῦν καὶ ἀθάνατον σοι ἀποδώσων τὸν ἀνδριάντα, ἀλλὰ χαλκοῦν ἐργάζεται πάλιν. ὁ δὲ θεὸς οὐχ οὕτως, ἀλλὰ πολὺν καὶ θνητὸν ἐμβαλὼν σῶμα, χρυσοῦν καὶ ἀθάνατον ἀποδίδωσί σοι τὸν ἀνδριάντα. φθαρτὸν γὰρ ἦν τὸ δεξάμενον σῶμα καὶ ὀπίκηρον, ἄφθαρτον καὶ ἀκήρατον ἀποδώσων αὐτό.

Μὴ τοίνυν ἴδῃς ἐκεῖνον τὸν μιαιφόνον τοὺς ὀφθαλμοὺς, τὸν ἄφωνον κείμενον, ἀλλὰ τὸν ἀνιστάμενον, τὸν ἀπολαμβάνοντα δόξαν ἄῤῥητον καὶ φρικώδη καὶ θαύμασιν, καὶ ὅπου τὸ σαρκώδους ὄψεως πρὸς τὴν μέλλουσαν ἐλπίδα, μέτρα τοὺς λογισμούς.

Ἀλλὰ συνήθεια ἀπιστεῖς. καὶ διὰ τοῦτο ἀλύεις καὶ ὀρνι-

νεῖς

νεῖς κ) πῶς ἐκ ἄτοπον; εἰμὴ νυμφίᾳ τὸ θυγάτριον δόῃς, ἕτε ταῦ λαβὼν εἰς μακρὰν ἐκεῖνος ἀπέλθοι χώραν, κ) καλῶς ἀφέλῃται διατελοῖ μηδὲν ἧττον εἰδὼς τὸ γεγενημένον, τῇ τ' δυσφορίας φήμῃ παροξυνθεὶς ὡς τ' ἀποδημίας τ' ἀθυμίαν δὲ ταῦθα δὲ ἐκ ἀνδράποδου, οὐδὲ σωμάτου τινὸς, ἀλλ' αὐτῆς τῆς διανοίας λαβόντες τὸν ἀφεσόμενα, ἀλλεῖν δεῖ καὶ ὁλιγώρως.

Καὶ πῶς δίον τε, φησι, μὴ ἀλγεῖν, ἄνθρωπον ὄντα; οὐδὲ ἐγὼ τοῦτο λέγω, οὐδὲ τ' ἀθυμίαν, ἀλλὰ τ' ὑπόστασιν τ' ἀθυμίας αἱρεῖν. τὸ μὲν γὰρ ἀθυμεῖν, τ' φύσεως· τὸ δὲ πέρα τῦ μέτρου τῦτο ποιεῖν, μανίας κ) παραφορᾶς κ) γυναικώδους ψυχῆς· ἄλγησον, δάκρυσον, ἀλλὰ μὴ ὑποσυσπασθῇς, μὴ δυσχερέσῃς, μὴ ἀγανακτήσῃς. δυσχερίσησον τῷ λαμβάνοντι, ἵνα κομίσῃς τ' ἀπελθόντα, κ) λαμπρὰ ταῦτα αὐτῷ συμπέμψῃς ἐπαθλα. ἂν μὲν γὰρ δυσχεράνῃς, κἀκεῖνον καθύβρισας κ) τ' λαβόντα παρώξυνας, κ) σαυτὸν κατέβλαψας. ἂν δὲ εὐχαριστήσῃς, κἀκεῖνον ἐκόσμησας, κ) τ' λαβόντα ἐδόξασας, καὶ σαυτὸν ὠφέλησας.

Δάκρυσον ὡς ὁ δεσπότης σε ἐυδάκρυσον τ' λέξαντα, μέρα πιθεὶς ἡμῖν κ) κανόνας, κ) ὅρους ἀθυμίας, ὓς ὑπερβαίνειν ἐ δεῖ. ὅτω κ) Παῦλος εἶπεν. Περὶ δὲ τῶν κεκοιμημένων, φησὶν, οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἵνα μὴ λυπῆσθε ὡς κ) οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα. λυπῇ, φησὶν, ἀλλὰ μὴ ὡς ὁ Ἕλλην, ὡς ὁ ἀπογνώσκων ἀναστάσεως, ἀπελπίζων τ' μέλλουσαν ζωήν. αἰσχύνομαι, πιστεύσατε, κ) ἐρυθριῶ, διὰ τ' ἀγρεῖς χορεύς γυναικῶν ἐρῶν ἀχημονεσάντας, ῥίχας πλωμένας, βραχίονας τιμωμένας, παρειὰς ἀπαμαξωμένας, ὑπὸ τοῖς ὀφθαλμοῖς τῶν Ἑλλήνων ταῦτα γινόμενα.

Τί γὰρ ἐκ ἐροῦσιν ἐκεῖνοι, τί δὲ οὐ φθέγξονται περὶ ἡμῶν

ἐυ-

ἔτοι εἰσὶν οἱ περὶ ἀναστάσεως φιλοσοφοῦντες. πάνυγε. οὐ γὰρ συμβαίνει τοῖν δόγμασι τὰ γινόμενα; ἐν ῥήμασι τὰ περὶ ἀναστάσεως φιλοσοφοῦσιν, καὶ ἐν τοῖς πράγμασι τὰ τῆς ἀσεβεστάτων ποιοῦσιν. εἰ ἐθάῤῥουν οὗτοι ὅτι ἀνάστασίς ἐστιν, οὐκ ἂν ταῦτα ἐποίησαν. εἰ πεπεισμένοι ἦσαν ἑαυτοὺς, ὅτι πρὸς βελτίονα λῆξιν ἀπῆλθεν οὗτος, οὐκ ἂν ἐθρήνησαν.

Ταῦτα καὶ πλείονα τούτων λέγουσιν οἱ ἄπιστοι, τῆς θρήνων ἐκείνων ἀκούοντες. αἰσχυνώμεθα τοίνυν, καὶ σωφρονῶμεν, καὶ μὴ τοσαύτην καὶ ἑαυτοῖς καὶ τοῖς ὁρῶσι προξενῶμεν τὴν βλάβην.

Τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, δακρύεις οὕτω τὸν ἀπελθόντα; πονηρὸς ἦν; οὐκοῦν διὰ τοῦτο οὐ χαίρειν σε δεῖ, ὅτι ἐνεκόπη τὰ τῆς κακίας αὐτῷ. ἀλλὰ χρηστὸς καὶ ὠφέλιμος; καὶ διὰ τοῦτο χαίρειν δεῖ, ὅτι ταχέως ἁρπαγὴ πρὶν ἢ τῇ κακίᾳ ἀλλαξῇ σωθείη, καὶ ἀπῆλθεν εἰς χωρίον, ἔνθα ἐπ' ἀσφαλείας λοιπὸν ἔσται καὶ μεταβολὴν οὐκ ἔστιν ὑποπτεῦσαί τινα.

Ἀλλὰ νέος ἦν; καὶ διὰ τοῦτο δέξασθον τὸν λαβόντα, ὅτι ταχέως αὐτὸν πρὸς τὸ βελτίονα λῆξιν ἐκάλεσεν. ἀλλὰ γεγηρακώς; καὶ διὰ τοῦτο δυχαρίστησον, καὶ τὸν λαβόντα δέξασθον πάλιν. αἰσχύνθητι τὸ ἄχθος τῆς ἐπιφορᾶς; ψαλμῳδίαι καὶ ὄρθριοι καὶ πατέρων σύλλογος καὶ πλῆθος ἀδελφῶν τοσούτων, οὐχ ἵνα κλαίῃς καὶ ὀδύρῃ καὶ ἀποδυσωπηθῇς, ἀλλὰ ἵνα εὐχαριστῇς τῷ λαβόντι.

Καθάπερ γὰρ οἱ τὸν ἐπ' ἀρχὴν καλυμένους πολλοὶ προπέμπουσι ταῖς εὐφημίαις· οὕτω καὶ τὸν ἀγέλαστον τοῦτον ἀποντας. ἆτε δὴ μείζονα κληθέντας τιμὴν, μὴ πολλῆς ἅπαντες προπέμπουσι τὴν εὐφημίας.

Ἀλλ' ἀπαυσίς ἐστιν ὁ θάνατος ἐδεσμάτων, καὶ φροντίδων βιωτικῶν ἀπαλλαγή. ὅταν δὲ ἴδῃς τινὰ τῶν προσηκόντων ἀπελθόντα

ἐπὶ τοῦ

ἀντεῦθεν, μὴ δυσχεράνῃς, ἀλλὰ καταγνῶθι, πρὸς ἑαυτὸν ἐπάνελθε. τὸ σωφρονιστὸν ἐξέτασον, σκόπησον ὅτι καὶ σὲ μικρὸν ὕστερον μένῃ τοῦτο τέλος, γένου σωφρονίστερος, καὶ δέξῃ φόβον ἀπὸ τῆς ἑτέρου τελευτῆς, καὶ ῥᾳθυμίαν περίκοψον ἅπασαν, ἀναλίσκουσα τὰ πεπραγμένα, διόρθωσαι τὰ ἡμαρτημένα, ἀρίστην ποίησαι μεταβολήν. τούτῳ διεσκαμμένῃ τῆς ἀπίστων, τῷ κρίσις ἑτέρας περὶ τῆς πραγμάτων ἔχει.

Ὁρᾷ τὸν οὐρανὸν ὁ ἄπιστος, καὶ προσκυνεῖ· θεὸν γὰρ εἶναι νομίζει. Ὁρᾷ τὴν γῆν καὶ θεραπεύει, καὶ πρὸς τὰ αἰσθητὰ κλίνει, ἀλλὰ ἡμεῖς οὐχ οὕτως. ἀλλ' ὁρῶμεν τὸν οὐρανὸν, καὶ πεποίηκότα αὐτὸν θαυμάζομεν· οὐ γὰρ θεὸν αὐτὸν, ἀλλ' ἔργον εἶναι θεοῦ πεπιστεύκαμεν. Ὁρᾷ τὴν κτίσιν ἅπασαν, καὶ δι' αὐτῆς χθὲς λόγου οὖσαν πρὸς τὸν δημιουργόν. Ὁρᾷ πλοῦτον ἐκεῖνος, καὶ κλίνει καὶ ἐκπέπληκται. Ὁρῶ πλοῦτον ἐγὼ, καὶ καταγελῶ. Ὁρᾷ πενίαν ἐκεῖνος, καὶ ὀδύρεται. Ὁρῶ πενίας ἐγὼ καὶ ἀγάλλομαι. ἑτέρως ἐγὼ βλέπω τὰ πράγματα, καὶ ἑτέρως ἐκεῖνος.

Οὕτω καὶ ὅπι τοῦ θανάτου ποιοῦμεν. Ὁρᾷ νεκρὸν ἐκεῖνος καὶ νομίζει νεκρόν εἶναι. Ὁρῶ νεκρὸν ἐγὼ καὶ ὕπνον ἀντὶ θανάτου βλέπω. Καὶ καθάπερ ὅπι τῶν γραμμάτων τοῖς μὲν αὐτοῖς ὁρῶμεν αὐτὰ ὀφθαλμοῖς, ὅτε εἰδότες, ὅτε ἀγνοοῦντες τὰ γράμματα· οὐ τῇ αὐτῇ δὲ διανοίᾳ, ἀλλὰ οἱ μὲν ὡς εἰδότες γράμματα, ἁπλῶς εἶναι νομίζουσιν τὰ βλεπόμενα, οἱ δὲ ὅπισθεν, μὴ πολλῆς τέχνης τὸν ἐναποκείμενον ἀναλέγονται νοῦν. οὕτω δὴ καὶ ὅπι τῶν πραγμάτων, τοῖς μὲν αὐτοῖς ὀφθαλμοῖς ὁρῶμεν τὰ συμβαίνοντα, οὐ τῇ αὐτῇ δὲ διανοίᾳ καὶ γνώμῃ.

Ἐπὶ τῶν ἄλλων τοίνυν ἁπάντων διεσκοπότες αὐτῶν, ἐν ταῖς περὶ τοῦ θανάτου συνεμπίσωμεν ψήφοις· ἐλυτόησον πρὸς

τίνα

τίνα ἀπῆλθε, καὶ λαβέ παραμυθίαν. ἔνθα Παῦλός ἐστιν, ἔνθα Πέτρος, ἔνθα τῶν ἁγίων ὁ χορὸς ἅπας.

Ἐννόησον πῶς ἀναστήσεται μεθ' ὅσης δόξης καὶ λαμπρότητος· ἐννόησον ὅτι πενθῶν καὶ ὀδυρόμενος, οὕτω τὸ γεγενημένον δυνήσῃ διορθώσασθαι τοῖς ὀδυρμοῖς, καὶ σαυτὸν καταβλάψεις τὰ ἔσχατα.

Ἐννόησον τίνας μιμῇ τοῦτο ποιῶν, καὶ φεῦγε τὴν κοινωνίαν τῶν ἁμαρτίας. τίνας οὖν μιμῇ καὶ ζηλοῖς; τοὺς ἀπίστους, οὐκ ἔχοντας ἐλπίδα. καθάπερ οὖν καὶ ὁ Παῦλος εἶπεν, Ἵνα μὴ λυπῆσθε ὡς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα. καὶ προσέχε τῇ τοῦ ῥήματος ἀκριβείᾳ. ὃ γὰρ εἶπεν, οἱ μὴ ἔχοντες ἐλπίδα ἀναστάσεως. ἀλλὰ πῶς; οἱ μὴ ἔχοντες ἐλπίδα. ὁ γὰρ ἐλπίδα τῆς ἐκεῖ κρίσεως μὴ ἔχων, οὐδεμίαν ἐλπίδα ἔχει. οὐδ' ὅτι θεός ἐστιν οἶδεν, οὐδ' ὅτι προνοεῖ τῶν παρόντων πραγμάτων, οὐδ' ὅτι τὰ πάντα, θεία τίς ἐφορᾷ δίκη. ταῦτα δὲ οὐκ εἰδώς, οὐδὲ νομίζων, θηρίου παντός ἐστιν ἀλογώτερος· καὶ νόμους, καὶ δικαστήρια, καὶ δεσμοὺς καὶ πάντα ἁπλῶς τὰ ἀγαθὰ ὑπὸ τῆς οἰκείας ἐξορίστους ψυχῆς.

Ὁ γὰρ μὴ προσδοκῶν ἐνθένδε ὑφέξειν τῶν πεπραγμένων· πάσης μὲν ἀρετῆς ἀφέξεται, πάσης δὲ κακίας ἀνδέξεται. ταῦτ' οὖν ἐπιστάντες, καὶ τὴν ἄνοιαν, καὶ τὴν παραπληξίαν τῶν Ἑλλήνων, οἷς κοινωνοῦμεν διὰ τῶν δρήστων, λογισάμενοι· φεύγωμεν τὴν πρὸς ἐκείνους συμφωνίαν. διὰ γοῦν τοῦτο καὶ Παῦλος ἀπὸ ἄνω ἀνεμνήσθη, ἵνα τὴν ἀτιμίαν ἐννοήσας πρὸς ἣν κατάπτωσις ἐκ τῆς πρὸς ἐκείνους συμφωνίας, ἀνανήψῃς καὶ πρὸς τὴν οἰκείαν ἐλεύθερον ἐπανέλθῃς.

Καὶ ἐκ ταύτης μόνον, ἀλλὰ πολλαχοῦ τοῦτο ποιεῖ καὶ συνεχῶς ὁ μακάριος Παῦλος. ὅταν γὰρ ἀπαγορεύειν τῶν ἁμαρτημάτων βούληται, πείκνυσι, τίσιν κοινωνοῦμεν διὰ τῶν ἁμαρ-

πραγμάτων· ἵνα τῇ ποιότητι τοῦ προσώπου διηχθεὶς, τὴν κοινωνίαν φύγῃς. Θεασάμενος γοῦν γράφων, οὕτως ἔλεγεν, „ Ἕκαστος τὸ ἑαυτοῦ σκεῦος κτᾶσθαι ἐν ἁγιασμῷ, καὶ τιμῇ, μὴ „ ἐν πάθει ἀτιμίας, καθάπερ καὶ τὰ λοιπὰ ἔθνη, τὰ μὴ εἰδότα „ θεόν. καὶ πάλιν, Μὴ, καθὼς καὶ τὰ λοιπὰ ἔθνη, περιπατεῖτε, ἐν „ ματαιότητι τοῦ νοὸς αὐτῶν. οὕτω δὲ καὶ ἐνταῦθα, Οὐ θέλω „ δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοὶ, περὶ τῶν κεκοιμημένων, ἵνα μὴ „ λυπῆσθε, καθὼς καὶ οἱ λοιποὶ, οἱ μὴ ἔχοντες ἐλπίδα.

Οὐ γὰρ ἡ φύσις τῶν πραγμάτων, ἀλλὰ ἡ προαίρεσις ἡ ἡμετέρα, λυπεῖν ἡμᾶς εἴωθεν. οὐχὶ ὁ θάνατος τοῦ ἀπελθόντος, ἀλλὰ ἡ ἀδίνεια τῶν θρηνούντων. τί γοῦν πρὸς οὐδὲν τῶν παρόντων λυπῇ σεαυτὸν, ἀλλὰ πρὸ τῶν μελλόντων ἀγαθῶν καὶ, ἐν τῷ παρόντι διέζησε τῶν ἀπίστων, οὐ μικρὰν ὁπλομαχίαν ἐν τῷ κατὰ χριστὸν φιλοσοφίας ἀγαθὰ καὶ μέγιστον τοῦτο καρπούμενος, εὐθυμίαν διηνεκῆ καὶ χαράν. διὸ καὶ „ Παῦλος φησὶ, Χαίρετε ἐν κυρίῳ πάντοτε. πάλιν ἐρῶ, χαίρετε. ὥστε καὶ τὸ τῆς ἀναστάσεως, ἡ μικρὰν ταύτην ἔλαβεν ἀμοιβὴν, τὸ μὴ καταπίπτειν ὅλως μηδενὶ τῶν συμπιπτόντων δεινῶν, ἀλλὰ τῇ τῶν μελλόντων ἐλπίδι παραμυθίας ὁπλαὶ πολλῆς.

Ὥσπερ γοῦν ἐκεῖθεν ἡμεῖς κερδαίνομεν, οὕτως ὁ ἄπιστος ἐκεῖθεν καταβλάπτεται. καὶ τὸ κολάζεσθαι ὕστερον διὰ τὴν τῆς ἀναστάσεως ἀπιστίαν, καὶ τὸ καταπίπτειν ὅλως τοῖς παροῦσιν πράγμασι, διὰ τὸ μηδὲν προσδοκᾶν μετὰ ταῦτα χρηστόν.

Οὐ τοίνυν διὰ τὴν ἀνάστασιν μόνον ὀφείλομεν εὐχαριστεῖν τῷ θεῷ, ἀλλὰ καὶ διὰ τὴν ἐλπίδα τῆς ἀναστάσεως· ἣ τὰς ὀδυνωμένας δύναται παραμυθήσασθαι ψυχὰς, καὶ πεῖσαι περὶ τῶν ἀπελθόντων θαῤῥεῖν, ὡς ἀναστησομένων πάλιν καὶ συνεστομένων. Εἰ γὰρ ἀλγεῖν χρὴ καὶ πενθεῖν τοὺς ἐν ἁμαρτίαις ζῶντας,

πολ-

πενθεῖν δεῖ καὶ ὀλύρεσθαι, οὐ τοὺς ἀπελθόντας μετ' ἀρετῆς. οὕτως καὶ Παῦλος ποιεῖ. Κορινθίοις γὰρ ὑπιστέλλων φησὶ, Μήπως ἐλθόντι με πρὸς ὑμᾶς ταπεινώσῃ ὁ θεός καὶ πενθήσω πολλούς. Οὐκ εἶπε, τοὺς ἀποθανόντας, ἀλλὰ τοὺς προημαρτηκότας καὶ μὴ μετανοήσαντας ὅπι τῇ ἀσελγείᾳ καὶ ἀκαθαρσίᾳ ᾗ ἐπράξαν. τούτους δεῖ πενθεῖν. οὕτως καὶ ἄλλος παραινεῖ λέγων. Κλαῦσον ὅπι νεκρῷ, ἐξέλιπε γὰρ φῶς. ὅπι μωρῷ κλαῦσον, ἐξέλιπε γὰρ σωφροσύνης. ὀλίγον κλαῦσον ὅπι νεκρῷ ὅτι ἀνατέπαυται· τῷ δὲ μωρῷ, ὑπὲρ τὸν θάνατον ἡ ζωὴ πονηρά.

Εἰ δὲ ὁ σωφρόνως ἀποστερημένος, διὰ παντὸς ἄξιον ἂν εἴη θρηνεῖσθαι· πολλῷ μᾶλλον ὁ δικαιοσύνης ἔρημος, καὶ τῆς κατὰ τὸν θεὸν ἐλπίδος ἐκπεπτωκώς.

Τούτους οὖν πενθῶμεν ἡμεῖς. τοῦτο μὲν γὰρ ἔχει κέρδος τὸ πένθος. πολλάκις γοῦν τοὺς τοιούτους θρηνοῦντες διορθωσόμεθα· τὸ δὲ ὅπι τοῖς ἀπελθοῦσιν, ἀνόητον ὁμοῦ καὶ βλαβερόν.

Μὴ τοίνυν ἀντιῤῥέψωμεν τὸ πάθος, ἀλλὰ ἁμαρτίαν θρηνῶμεν μόνον, τὰ δὲ ἄλλα πάντα, κἂν πενία, κἂν νόσος, κἂν θάνατος ἄωρος, κἂν ἐπήρεια, κἂν συκοφαντία, κἂν ὁτιοῦν περισπᾷ τὴν ἀνθρωπίνην δύναμιν, πάντα γενναίως φέρωμεν. ταῦτα γὰρ ἡμῖν, τὰ δῆτα ταῦτα, στεφάνων εἰσὶ πλοκίων, ἂν νήφωμεν.

Καὶ πῶς ἔστιν ἄνθρωπον ὄντα, φησὶ, μὴ ἀλγεῖν; τοὐναντίον μὲν λέγω. πῶς ἔστιν, ἄνθρωπον ὄντα ἀλγεῖν, λόγῳ τιμῶντα καὶ λογισμῷ, καὶ τοῖς περὶ τῶν μελλόντων ἐλπίσι; Καὶ τίς ἐστιν ὃς οὐχ ἑκὼν τοῦ πάθους τούτου, φησὶ; πολλοὶ καὶ πολλαχοῦ καὶ ἐφ' ἡμῶν, καὶ οὐ πρόγονον τοῦ ἡμετέρου. ὁ γοῦν Ἰακὼβ, ὁλοκλήρου τοῦ χοροῦ τῶν υἱῶν ἀπελθόντος, ἄκουσον τί φησίν. Ὁ κύριος ἔδωκεν, ὁ κύριος ἀφείλατο, ὡς τῷ κυρίῳ

ἔδοξεν, ἔυτω κὴ ἐγένετο.

Θαυμαςὰ μὴν ουῦ ταῦτα καὶ ἁπλῶς ἀκουόμενα. ἂν δὲ κὴ μετὰ ἀκριβείας ἐξετάσῃς αὐτὰ, τότε μειζόνως ὄψει τὸ θαῦμα. Ἐννόησον γὰρ ὅτι ἀχὶ τοὺς ἡμίσεις ἀφῆκεν, ουδὲ τοὺς πλείονας ἔλαβε κὴ τοὺς ἐλάττους ἀφῆκεν, ἀλλὰ ὁλόκληρον ἐρύγματα καρπὸν, κὴ τὸ σῖτος ου κατέβαλε.

Πᾶσαν ἐπῆγαγε τὴν θάλατταν μὲ τῆς κυμάτων. καὶ τὸ σκάφος ου κατεπόντισεν· ὅλην τὴν δυνάμιν ἐκαίνωσε, κὴ τὸν πύργον ἐκ ἔσεισεν, ἀλλ' εἰςήκει πάντοθεν βαλλόμενος, κὴ ἀκλινὴς μένων· κὴ νιφάδες ἐςέργοντο βιλῶν, κὴ ἐκ ἐπλήττετο, μᾶλλον δὲ ἐπίμπτοντο μὴν, ἐκ ἐτίτρωσκον δέ.

Ἐννόησον ὅσον ἐςὶ τοσούτους παῖδας ἰδεῖν ἀπολωλότας· τί γὰρ ἐκ ἦν ἐκεῖνον δάκνειν τὸ πάντας ἁνηρπαδῆναι, τὸ πάντας ἀθρόον κὴ ἐν ἡμέρᾳ μιᾷ; τὸ ἐν αὐτῷ τῆ ἡλικίας τῷ ἀνθεῖ, τὸ πολλὴν ἀρετὴν ὑπὸ εδῆ μένους; τῷ βάρει τοιούτῳ τιμωρίας καταλῦσαι τὸν βίον; τὸ μετὰ τοσούτας πληγὰς ἐφ' ἑτέραν ἐπενεχθῆναι ταύτην; τὸ φιλόςοργον εἶναι τὸν γεγεννηκότα; τὸ ποθεινοὺς εἶναι τοὺς ἀπολλύντας.

Ὅταν μὴν γὰρ πονηρούς τις ἀπολλὴ παῖδας, δάκνει μὴν τῷ πάθει, πλὴν ἀλλ' ου μὲ πολλῆς τῆ σφοδρότητος· ἡ πονηρία γὰρ τῶν ἀπολλυμένων δειμυτέρους ἐκ ἀφίησιν γενέσθαι τῆ ὀδυνης. Ὅταν δὲ κὴ ἐναρέτοι ὦσιν, μόνιμον τὸ θαῦμα γίνεται, ἄληςος ἡ μνήμη, ἀπαραμύθητον τὸ κακόν. διπλοῦν μὴν ἐςὶ τὸ κέντρον, τὸ μὴν ἀπὸ τῆ φύσεως, τὸ δὲ ἀπὸ τῆ ἀρετῆς τῶν ἀπολλυμένων. Ὅτι δὲ ἦσαν ἐναρέτοι, δῆλον ἐκεῖθεν. πολλὴν αὐτῶν ὁ πατὴρ ἐποιεῖτο τὴν ἐπιμέλειαν, κὴ ἀνιςάμενος θεοσεφῶς ὑπὲρ αὐτῶν κὴ ὑπὲρ τῆ ἀδήλων ἁμαρτημάτων θεραπευτικῶς· κὴ ἀδὲν αὐτῷ τοῦτου θεοτιμώτερον ἦν. Ἔτι δὲ ου τῶν παίδων τὴν ἀρετὴν δεικνυσι μένον, ἀλλὰ

καὶ

καὶ τὴν τοῦ πατρὸς φιλοσοφίαν. ὅταν οὖν καὶ πατὴρ ᾖ καὶ οὕτω φιλόσοφος, μὴ τὸν ἀπὸ τῆς φύσεως πόθον ἐνδεικνύμενος μόνον, ἀλλὰ καὶ τὸν ἀπὸ τῆς ὀλιγαβείας, ἀλλὰ καὶ οἱ ἀπελθόντες οὗτως ἐναρετοι, τρισὶ πλὴν γίνεται τῆς ἀθυμίας ἡ πυρά.

Πάλιν ὅταν κατὰ μέρος ἀναπαύζωνται, ἔχει τινα παραμυθίαν τὸ πάθος. οἱ γὰρ ὁπλειπόμενοι τὸ ὅτι τοῖς ἀπελθοῦσι συσκιάζουσιν ἀθυμίαν. ὅταν δὲ ὁλόκληρος ὁ χορὸς ἀπελθῃ, ποῦ τίνα σωπήσεται ἰδεῖν ὁ πολύπαις ἄθρόον ἄπαις γενόμενος;

Μετὰ τοῦτο πάλιν ἔστι καὶ πέμπτην εἰπεῖν πληγήν, ποίαν δὴ ταύτην; τὸ σθεῦδον αὐτοὺς ἀναπαυθῆναι πάντας. εἰ γὰρ ἐν τρισὶν, ἢ πέντε ἡμέρᾳς ἀπελθόντων τινῶν, αἱ γυναῖκες καὶ οἱ προσήκοντες ἅπαντες τοῦτο μάλιστα πάντων ὀλοφύρονται, ὅτι ταχέως καὶ ἐξαίφνης ἀνηρπάγη τῆς ὄψεως ὁ τετελευτηκώς· πολλῷ μᾶλλον οὗτος ἂν ἤλγησεν ἐπὶ ἡμέρᾳς τρισὶ, καὶ δύο καὶ μιᾷ, ἀλλ' ἐν ὥρᾳ μιᾷ πάντας οὕτως ἀφαιρεθείς. τὸ μὲν γὰρ μελετηθὲν, τῷ χρόνῳ ἧττον, κἂν σφόδρα ἀφόρητον ᾖ, τῇ προσδοκίᾳ κοῦφον ἂν γένοιτο ῥᾳδίως· τὸ δὲ παρ' ἐλπίδα συμβὰν καὶ ἐξαίφνης, ἀφόρητον γίνεται. Ὅταν οὖν τι καὶ καθ' ἑαυτὸ χαλεπὸν ᾖ, καὶ τὸ ἐπὶ τῇ παρ' ἐλπίδα συμβῆναι λαμβάνῃ προσθήκην· ἐννόησον πῶς ἀφόρητον γίνεται καὶ πάντα ὑπερβαίνῃ λόγον.

Βούλει καὶ ἑκτὴν ἀκοῦσαι πληγήν; ἐν αὐτῷ τῆς ἡλικίας τῷ ἄνθει, πάντας ἀπώλεσεν. ἴστε δὲ ὅπως οἱ ἄωροι δάκνουσι θάνατοι, καὶ ποικίλον ποιοῦσι τὸ πένθος. οὗτος δὲ οὐκ ἄωρος μόνον ἦν, ἀλλὰ καὶ βίαιος· ὡς εἶναι καὶ ταύτην ἑβδόμην πληγήν. οὐ γὰρ ἀπὸ κλίνης εἶδεν αὐτοὺς ἀποπνέοντας καὶ ψυχορραγοῦντας· ἀλλὰ τῇ οἰκίᾳ καταχωσθέντας ἅπαντας.

Ἐννόησον τοίνυν τίς ἦν ἀνορύττων τὸ χῶμα, καὶ τῶν μὲν

λίθου, καὶ ὁ μὲν μόλος ἀντίκρυ τοῦ παιδίου, καὶ χεῖρα ὀρθοῖ, ἵνα ῥᾳδίαν κατέχουσαν, καὶ δεξιὰν ἐτέραν ὑπεκειμένην τῷ πίνακι, καὶ αὐτὸν τὸ σώματος διεφθαρμένον ἀπὸ τύπου· ῥινὸς συντριβείσης, κεφαλῆς διαθλασθείσης, ὀφθαλμῶν ἀφανισθέντων, ἐγκεφάλου διεσπαρμένου, πάσης ἁπλῶς τῆς μορφῆς διεφθαρμένης, καὶ τῆς θαυμάτων ποικιλίας ἐκ ἀφιείσης ἀπὸ τοῦ πεπονθυίαν ὄψεων ὑπογραφῆναι τὸν τύπον.

Συνεχύθητε ταῦτα ἀκούοντες, καὶ δακρύετε; ἐνυπόστατον τοίνυν τίς ἦν ἐκεῖνος ταῦτα ὀργῶν. εἰ γὰρ ἡμεῖς μετὰ τοσοῦτος χρόνον οὐ δυνάμεθα ἀδακρυτὶ τῆς τραγῳδίας ἐκείνης τὴν ἀκοὴν ἐνεγκεῖν, καὶ ταῦτα ἀλλοτρίας ἀκούοντες συμφορᾶς· τίς ἦν ὁ ἀδάμας ἐκεῖνος, θέαμα ταῦτα παραλαμβάνων, οὐκ ἐν ἀλλοτρίοις, ἀλλ' ἐν οἰκείοις φιλοσοφῶν κακοῖς. οὐδὲ γὰρ ἀπεδυσώπησεν οὐδέποτε, οὐδὲ εἶπεν, τίποτε τοῦτό ἐστιν; ἄνυτη μοι τῆς φιλοσοφοσύνης ἡ ἀμοιβή; διὰ τοῦτο τοῖς ξένοις ἀνέφξα τὰ οἰκεῖα, ἵνα ταῖφον τῶν παίδων γενομένην αὐτὴν ὀπίσω; διὰ τοῦτο πᾶσαν περὶ αὐτοὺς ἀρετὴν ἐπεδειξάμην, ἵνα τοιοῦτον ὑπομείνωσι θάνατον; οὐδὲν τούτων οὐκ εἶπεν, οὐκ ἐτύπησεν· ἀλλ' ἔφερε πάντα γενναίως, καὶ μὴ τοσαύτην ὑπομένειαν αὐτῶν ἀφαιρεθείς.

Καθάπερ γὰρ τις ἄριστος ἀνδριαντοποιὸς, χρυσοῦς διαπλάττων ἀνδριάντας, μὴ πολλῆς καλλωπίζει τὴν ἀκριβείας· οὕτως καὶ αὐτὸς ταῖς ἐκείνων ἐῤῥύθμιζε ψυχαῖς διαπλάττων, κατακοσμῶν. Καὶ καθάπερ τις γεωργὸς φιλόπονος στέλεχος φοινίκων ἢ ἐλαιῶν, ἄρδων, τηλίζων, περιφράττων, παντὶ θεραπεύων τρόπῳ διατελεῖ· οὕτω καὶ οὗτος οὐ διελίμπανε, καθάπερ ἐλαίαν τινὰ καρπὸν, τὸ ἐκφῦσον ψυχὴν εἰς πλείονα ἀρετῆς αὔξων ὄπωσοῦν, ἀλλ' εἴδεν τὸ στέλεχος τῇ τοῦ πονηροῦ πνεύματος θερσοβολῇ ἀνασπαδόντα καὶ ὀπὶ γῆς ἐκτεθέντα

καὶ

καὶ οὐδὲν βλάσφημον ἐφθέγξατο ῥῆμα, ἀλλὰ καὶ ηὐχαρίστησε, καιρίαν δοὺς τῷ διαβόλῳ τὴν πληγήν.

Εἰ δὲ λέγοις ὅτι πολλοὺς ἔτος εἶχεν υἱούς· ἄλλος δὲ πολλάκις ἕνα μονογενῆ ἔχων ἀπώλεσε, καὶ ἴσον τὸ πένθος ἀλλὰ πολλῷ μεῖζον τὸ τῆς Ἰώβ. τί γὰρ αὐτῷ τῆς πολυπαιδίας ὄφελος, βαρυτέραν αὐτῷ τὴν συμφορὰν ἐποίησε καὶ πικροτέραν τὴν ὀδύνην, τὰ ἐν πλείοσι σώμασι τὸ βαῦμα δείξασθαι.

Εἰ δὲ βούλει καὶ ἕτερον ἰδεῖν, ἕνα μονογενῆ παῖδα ἔχοντα, καὶ τὴν αὐτὴν καὶ πλείονα ἀνδρείαν ἐπιδειξάμενον. ἀναμνήσθητι τοῦ πατριάρχου Ἀβραάμ, ὃς οὐκ εἶδε τὸν Ἰσαὰκ ἀποθνήσκοντα, ἀλλ' ὁ πολλῷ πικρότερον ἦν καὶ ὀδυνηρότερον, αὐτὸς αὐτὸν κατασφάξαι ἐπετάττετο, καὶ οὐκ ἀντεῖπεν οὐδὲ τῷ ἐπιτάγματι, οὐδὲ ἐδυσχέρανεν οὐδὲ ἐφθέγξατό τι τοιοῦτον· διὰ τοῦτό με πατέρα ἐποίησας, ἵνα παιδοκτόνον ἀπεργάσῃ; βέλτιον ἦν μὴ δοῦναί μοι τὴν ἀρχήν, ἢ δόντα, τοιούτῳ βάρει αὐτὸν πάλιν ἀφελέσθαι.

Βέλτιον λαβεῖν, τίνος ἕνεκεν καὶ μὲ κατασφάξαι κελεύεις καὶ τὴν δεξιὰν μιᾶναι τὴν ἐμαυτοῦ. οὐκ ἀπὸ τούτου μοι τοῦ παιδίου τὴν οἰκουμένην ἐμπλῆσαι τῆς ἀπογόνων ὑπέρχουσι; πῶς οὖν σοῦ καρπὸς δίδωσι, τὴν ῥίζαν ἀναιρῶν; πῶς δὲ ἀπογόνους ἀπαγγέλλει, τὸν υἱὸν κατασφάττειν κελεύων; τίς ταῦτα εἶδε; τίς ταῦτα ἤκουσεν; ἀπάτημα, παραλογισμός. οὐδὲν τοιοῦτον οὐκ εἶπεν, οὐκ ἐνόησεν, οὐκ ἀντεῖπεν τῷ κελεύσαντι, οὐκ ἀπήτησεν ὀδυρμούς, ἀλλὰ ἀκούσας, Λάβε τὸν υἱόν σου, τὸν ἀγαπητόν, ὃν ἠγάπησας, τὸν Ἰσαάκ, καὶ ἀνάγαγε αὐτὸν ἐφ' ἓν τῶν ὀρέων, ὧν ἄν σοι εἴπω· μὴ τοσαύτης εὐθυμίας τὸ ὑπέρταγμα ἐπλήρωσεν, ὡς καὶ πλείονα τῶν ὑπερβάντων ποιῆσαι. καὶ γὰρ τὸ γινόμενον ἐκρυψεν, καὶ τοῦ παιδὸς ἔλαθεν, κάτω μένων ἀφείς, καὶ μόνον τὸ ἱερεῖον, λαβὼν ἀνῆλθ. οὕτως οὐκ ἄκαν, ἀλλὰ μετὰ εὐθυμίας πολλῆς

τὸν

τὸ κελευσθὲν ἐποίησεν.

Ἐνόησον τοίνυν, ἠλίκον ἦν, μόνον μόνῳ διαλέγεσθαι τῷ παιδὶ, μηδενὸς παρόντος, ὅτι μᾶλλον τὰ σπλάγχνα διαθερμαίνεται καὶ σφοδρότερον τὸ φίλτρον γίνεται. καὶ τοῦτο οὐκ ἐπὶ μιᾶς ἢ δύο, ἀλλὰ καὶ ἐπὶ πλείστων ἡμέρας. τὸ μὲν γὰρ ταχέως ποιῆσαι τὸ ἐπιταχθὲν, θαυμαστὸν καὶ μέγα, ἀλλ' οὐχ οὕτως θαυμαστὸν ὡς διὰ τὸ πολλῶν ἡμερῶν βασανιζομένης αὐτῆς καὶ γυμναζομένης τῆς ψυχῆς, μηδὲν παθεῖν πρὸς τὸ παιδίον ἀνθρώπινον. Διὰ γὰρ τοῦτο αὐτὸ καὶ μακρότερα σκάμματα ἐπέθηκεν ὁ θεὸς καὶ τὸ στάδιον ἐξέτεινεν, ἵνα ἀκριβέστερον ἴδῃς τὸν ἀθλητήν. καὶ γὰρ ἦν ἀθλητὴς ὄντως, οὐκ ἀνθρώπῳ παλαίων, ἀλλὰ αὐτῇ τῇ φύσεως τυραννίδι.

Ποῖος λέγε παρασῆσαι δυνήσεται τὴν ἀνδρείαν; ἀπήγαγε τὸ παιδίον, συνεπόντισε, τοῖς ξύλοις ἐπέθηκε, τὴν μαχαίραν ἥρπασεν, ἐπάγειν τὴν πληγὴν ἔμελλεν· ὡς εἰπεῖν, καὶ ποίῳ βόπῳ οὐκ ἔχω. μόνος αὐτὸς ἴσθι ὁ ταῦτα ἐργασάμενος. λόγος γὰρ οὐδεὶς παρασῆσαι δυνήσεται. πῶς οὐκ ἐκάρκησεν ἡ χεὶρ; πῶς οὐκ ἐλύθη τῆδε κἀκεῖσε ὁ τύπος; πῶς οὐ συνέσχεν αὐτὸν ἡ ποθουμένη τοῦ παιδίου ὄψις.

Ἄξιον ἐνταῦθα θαυμάσαι καὶ τὸν Ἰσαάκ. ὥσπερ γὰρ ἐκεῖνος τῷ θεῷ, οὕτω καὶ οὗτος ἐπείθετο τῷ πατρί. καὶ καθάπερ ἐκεῖνος, τοῦ θεοῦ κελεύοντος θύσαι, οὐκ ἀπήτησεν ὀθνείους· οὕτω καὶ οὗτος, τοῦ πατρὸς δεσμοῦντος καὶ ἀνάγοντος ὅπου ἐβαμὸν, οὐκ εἶπε, τίνος ἕνεκεν ταῦτα ποιεῖς; ἀλλ' ὑπέκειτο τῇ χειρὶ τῇ πατρικῇ.

Καὶ ἦν ἰδεῖν ὁμοῦ πατέρα καὶ ἱερέα γινόμενον τὸν αὐτὸν, καὶ θυσίαν χωρὶς αἵματος ἀναφερομένην, ὁλοκάρπωμα χωρὶς πυρός, θανάτου καὶ ἀναστάσεως τύπον, ὅπου τὸν βαμὸν γινόμενον. καὶ γὰρ ἔσφαξε τὸν υἱὸν, καὶ οὐκ ἔσφαξεν. οὐκ ἔσφαξεν

καὶ

χάριν, ἀλλὰ τῆ προθυμία. ἐπεὶ καὶ ὁ θεὸς διὰ τοῦτο ἐκέλευσεν, οὐχ' αἵματα βουλόμενος ἰδεῖν, ἀλλὰ προαιρέσεσι σοὶ δεῖξαι θέλων, καὶ τὸν γενναῖον ἐκεῖνον ἐν μέσῳ τ' οἰκουμένης ἀνακηρύξαι πᾶσιν, καὶ παιδεῦσαι τοὺς μετὰ ταῦτα πάντας, ὅτι καὶ παίδων καὶ φύσεως καὶ τῶν ὄντων ἁπάντων, καὶ αὐτῆς τῆς ψυχῆς, τῷ θεῷ τὰ πρωτεύματα προσηκέν. Κατίδε τοίνυν ζῶντα λαβὼν μάρτυρα τὸν Ἰσαάκ.

Τίνα οὖν ἔχομεν συγγνώμην, εἰ σοί μοι, ποίαν δὴ ἀπολογίαν, εἰ τ' μὲν νέον ἐκεῖνον μετὰ τοσαύτης προθυμίας, τῷ θεῷ πειθόμενον καὶ πάντων αὐτῷ παραχωρούντων, ἡμεῖς δυσχεραίνομεν;

Μὰ δί μοι τὸ πένθος εἴπῃς, μηδὲ τὸ τῆς συμφορᾶς ἀφόρητον· ἀλλ' ἐκεῖνο σκόπησον, ὅτι καὶ τῶ πένθους χαλεποῦ ὄντος, ἀνάτερος ἦν. ἱκανὸν ἦν τὸ ὁπωσοῦν, θορυβῶσαι αὐτῶ λογισμὸν, καὶ εἰς ἀπορίαν αὐτὸν ἐμβαλεῖν, καὶ τ' πίστιν ὑπερβάλλειν ἐν τοῖς παρελθοῦσιν. Τίς γὰρ τῶν πολλῶν, ἀπάτην οὐκ ἂν ἐνόμιζεν εἶναι τὰ εἰρημένα περὶ τῶ πλήθους τῶν ἐγγόνων, ὧν αὐτῷ ἐπηγγείλατο; ἀλλ' οὐχ ὁ Ἀβραάμ.

Καὶ τὸν Ἰωβ δὲ τὴν ὁπὶ τῇ συμφορᾷ φιλοσοφίαν οὐχ ἥττον. καὶ ὑπὲρ τούτου μᾶλλον αὐτὸν θαυμάζω χρὴ, ὅτε μὴ τοσαύτην ἀρετὴν, μὴ ἐλεημοσύνας, καὶ φιλανθρωπίας μὴ τὸ μηδένα μήτε αὐτὸν, μήτε τοῖς παισὶν συμπεσόντα πονηρὸν, τοσοῦτον πένθος ἰδών, οὕτω καινὸν καὶ παράδοξον, καὶ μηδενὶ τῶν ἔτι τε τολμηκότων συμβεβηκός. ὃν ἔπαθεν τὰ τῶν πολλῶν, διὰ τὸ νόμιζεν ἀνόητον εἶναι τ' ἀρετὴν, διὰ καλῶς βεβουλεῦσθαι τοῖς παρελθοῦσιν. ὥστε δὶ ἀμφότερα αὐτοὺς ταῦτα οὐ θαυμάζειν χρὴ μόνον, ἀλλὰ ζηλοῦν καὶ μιμεῖσθαι τ' ἀρετήν.

Καὶ μὴ λεγέτω τις, ὅτι ἐκεῖνοι θαυμαστοί τινες ἦσαν καὶ

μεγάλοι, ἀλλ' ἡμεῖς πλείονα ἐκείνων ἀπαιτούμεθα φιλοσοφίαν τῆς εἰς τὴν παλαιὰν βιβλιακήτων ἀπάντων. ἐὰν γὰρ μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν γραμματέων καὶ φαρισαίων, φησὶν, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.

Πάντοθεν τοίνυν σωφρονισθέντες καὶ ταῦτα συλλέξαντες καὶ τὰ περὶ τῆς ἀναστάσεως ἡμῖν εἰρημένα, καὶ περὶ τῆς αἰῶνος τούτου σωφρόνως ἐπάδωμεν ταῖς ψυχαῖς, μὴ μόνον κατὰ τὸν καιρὸν τοῦ πένθους, ἀλλὰ καὶ μετὰ ταῦτα καθαρεύωμεν ὀδυρμῶν. καὶ διὰ τοῦτο καὶ ἐγὼ, καίτοι μηδενὸς ὄντος ἐν ἀθυμίᾳ, πρὸ τούτου ἐκίνησα τοὺς λόγους, ἵνα ὅταν ἐμπέσωμεν εἰς τινα τοιαύτην συμφορὰν, μεμνημένοι τῆς εἰρημένων, ἰσχυρᾶς ἀπολαύωμεν παραμυθίας.

Ἐπεὶ καὶ γρατιῶται εἰρήνης οὔσης, τὰ τοῦ πολέμου μελετῶσιν, ἵνα τῆς μάχης ὄντες, καὶ τοῦ καιροῦ τὴν ἐμπειρίαν ἀπαιτοῦντος, δικαίως ὀφθῶσιν ἄξιοι τῆς τέχνης ἣν ἐν τῇ εἰρήνῃ κατώρθωσαν.

Καὶ ἡμεῖς τοίνυν καὶ ὅπλα καὶ φάρμακα κατασκευάσωμεν ἑαυτοῖς ἐν καιρῷ τῆς εἰρήνης, ἵνα εἴ ποτε πόλεμος ἐπιστῇ παθῶν ἀλόγων, ἢ πένθους, ἢ ὀδυρμοῦ, ἢ ἄλλου τοιούτου, καθωπλισμένοι καλῶς καὶ σεσφραγισμένοι πάντοθεν τὰς τοῦ πονηροῦ σφενδόνας μὴ πολλῆς ἀποκρουσώμεθα τῆς ἐμπειρίας, καὶ λογισμοῖς ὀρθοῖς, καὶ ταῖς ἀποφάσεσι τοῦ θεοῦ, καὶ τοῖς ὑποδείγμασι τῶν ἀγαθῶν ἀνδρῶν, καὶ παντὶ τρόπῳ πάντοθεν ἑαυτοὺς τειχίσωμεν, Οὕτω γὰρ σωσώμεθα καὶ τὸν παροῦσαν ζωὴν μετ' εὐθυμίας διανύσειν, καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτυχεῖν ἐν χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος ἅμα τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

MVSEVM BRITANNICVM

TITLE D. Ioannis Chrysostomi Archiepiscopi ... homiliae sex ... 1586.

AUTHOR

LIBRARY The British Museum

LIBRARY REFERENCE 854. a. 1 (S.T.C. 14635)

APPROXIMATE REDUCTION RATIO 8

ORDER NUMBER 16141



UNIVERSITY MICROFILMS
ANN ARBOR MICHIGAN

PERMISSION TO EDIT THIS FILM MUST BE SECURED IN ADVANCE

FROM The British Museum